PENSÉES

DE

PLATON.

TEXTE GREC.

Cet **OUVRAGE** a été adopté pour les classes de Rhétorique et d'Humanités par la Commission de l'Instruction publique, Arrêté du 13 Novembre 1818.

CHEZ LE MÊME LIBRAIRE:

PLATONIS
ECLOGÆ
DE DEO, DE HOMINE, DE LEGIBUS.

COLLEGIT, EMENDAVIT, LEXICON ADDIDIT

J. V. Le Clerc

APPROBAVERUNT

PUBLICORUM STUDIORUM PRÆSIDES.

Audiamus Platonem, quasi quemdam deum philosophorum.

Cic., *de Nat. deor.*, II, 12.

EDITIO SECUNDA,

AUCTA FERÈ PERPETUO COMMENTARIO.

LUTETIÆ PARISIORUM,

EX TYPIS AUGUSTI DELALAIN,

viâ Mathurinensium, n°. 5.

Anno C. M. DCCC. XXIII.

PLATONIS ECLOGARUM INDEX.

PARS PRIMA.

DE DEO.

PARS SECUNDA.

DE HOMINE.

PARS TERTIA.

DE LEGIBUS.

PLATONIS ECLOGARUM ENARRATIO GRAMMATICA.

PLATONIS ECLOGÆ.

PARS PRIMA.

DE DEO.

DEUS.

Ὡς κινηθέν τε καὶ ζῶν ἐνενόησε τῶν ἀϊδίων θεῶν γεγονὸς ἄγαλμα ὁ γεννήσας πατὴρ, ἠγάσθη τε καὶ, εὐφρανθεὶς, ἔτι δὴ μᾶλλον ὅμοιον πρὸς τὸ παράδειγμα ἐπενενόησεν ἀπεργάσασθαι· καθάπερ οὖν αὐτὸ τυγχάνει ζῶον ἀΐδιον, καὶ τόδε τὸ πᾶν οὕτως εἰς δύναμιν ἐπεχείρησε τοιοῦτον ἀποτελεῖν. Ἡ μὲν οὖν ζώου φύσις ἐτύγχανεν οὖσα αἰώνιος, καὶ τοῦτο μὲν δὴ τῷ γεννητῷ παντελῶς προσάπτειν οὐκ ἦν δυνατόν· εἰκόνα δ' ἐπινοεῖ κινητήν τινα αἰῶνος ποιῆσαι· καὶ διακοσμῶν ἅμα οὐρανὸν, ποιεῖ, μένοντος αἰῶνος ἐν ἑνὶ, κατ' ἀριθμὸν ἰοῦσαν αἰώνιον εἰκόνα, τοῦτον ὃν δὴ χρόνον ὠνομάκαμεν· ἡμέρας γὰρ καὶ νύκτας καὶ μῆνας καὶ ἐνιαυτοὺς, οὐκ ὄντας πρὶν οὐρανὸν γενέσθαι, καὶ τότε, ἅμα ἐκείνῳ ξυνισταμένῳ, τὴν γένεσιν αὐτῶν μηχανᾶται· ταῦτα δὲ πάντα μέρος χρόνου.

Καὶ τό τ' ἦν, τό τ' ἔσται, χρόνου γεγονότος εἴδη, φέροντες λανθάνομεν ἐπὶ τὴν ἀΐδιον οὐσίαν οὐκ ὀρθῶς· λέγομεν γὰρ δὴ ὡς ἦν, ἔστι τε, καὶ ἔσται· τῇ δὲ τὸ ἔστι μόνον, κατὰ τὸν ἀληθῆ λόγον, προσήκει. Τὸ δὲ ἦν, τό τ' ἔσται, περὶ τὴν ἐν χρόνῳ γένεσιν ἰοῦσαν πρέπει λέγεσθαι· κινήσεις γάρ ἐστον· τὸ δὲ ἀεὶ κατὰ ταυτὰ ἔχον ἀκινήτως, οὔτε πρεσβύτερον, οὔτε νεώτερον προσήκει γίγνεσθαί ποτε, οὐδὲ γεγονέναι νῦν, οὐδ' εἰσαῦθις ἔσεσθαι· τοπαράπαν τε, οὐδὲν ὅσα γένεσις τοῖς ἐν αἰσθήσει φερο-

μένοις προσῆψεν· ἀλλὰ χρόνου ταῦτα, αἰῶνά τε μιμουμένου, καὶ κατ' ἀριθμὸν κυκλουμένου, γέγονεν εἴδη. Καὶ πρὸς τούτοις ἔτι τὰ τοιάδε, τό τε γεγονὸς εἶναι γεγονὸς, καὶ τὸ γιγνόμενον εἶναι γιγνόμενον, ἔτι δὲ τὸ γενησόμενον εἶναι γενησόμενον, καὶ τὸ μὴ ὂν, μὴ ὂν εἶναι, ὧν οὐδὲν ἀκριβῶς λέγομεν. Περὶ μὲν οὖν τούτων τάχ' ἂν οὐκ εἴη καιρὸς πρέπων ἐν τῷ παρόντι διακριβολογεῖσθαι.

Χρόνος δ' οὖν μετ' οὐρανοῦ γέγονεν, ἵνα, ἅμα γεννηθέντες, ἅμα καὶ λυθῶσιν, ἄν ποτε λύσις τις αὐτῶν γένηται· καὶ κατὰ τὸ παράδειγμα τῆς αἰωνίου φύσεως, ἵν' ὡς ὁμοιότατος αὐτῷ κατὰ δύναμιν ᾖ. Τὸ μὲν γὰρ δὴ παράδειγμα πάντα αἰῶνά ἐστιν ὄν· ὁ δ' αὖ διὰ τέλους τὸν ἅπαντα χρόνον γεγονώς τε καὶ ὢν καὶ ἐσόμενός ἐστι μόνος.

Ἐξ οὖν λόγου καὶ διανοίας θεοῦ τοιαύτης πρὸς χρόνου γένεσιν, ἵνα γεννηθῇ χρόνος, Ἥλιος, καὶ Σελήνη, καὶ πέντε ἄλλα ἄστρα, ἐπίκλην ἔχοντα πλάνητες, εἰς διορισμὸν καὶ φυλακὴν ἀριθμῶν χρόνου γέγονε· σώματα δὲ αὐτῶν ἑκάστων ποιήσας ὁ θεὸς, ἔθηκεν εἰς τὰς περιφορὰς, ἃς ἡ θατέρου περίοδος ᾔει, ἑπτὰ οὔσας, ὄντα ἑπτά· Σελήνην μὲν εἰς τὸν περὶ γῆν πρῶτον, Ἥλιον δ' εἰς τὸν δεύτερον ὑπὲρ γῆς, Ἑωσφόρον δὲ καὶ τὸν ἱερὸν Ἑρμοῦ λεγόμενον, εἰς τὸν τάχει μὲν ἰσόδρομον Ἡλίῳ κύκλον ἰόντας, τὴν δ' ἐναντίαν εἰληχότας αὐτῷ δύναμιν· ὅθεν καταλαμβάνουσί τε καὶ καταλαμβάνονται, καὶ κατὰ ταυτὰ ὑπ' ἀλλήλων, Ἥλιός τε καὶ ὁ τοῦ Ἑρμοῦ καὶ ὁ Ἑωσφόρος. Τὰ δ' ἄλλα, οἷ δὴ καὶ δι' ἃς αἰτίας ἱδρύσατο εἴ τις ἐπεξίοι πάσας, ὁ λόγος πάρεργος ὢν πλέον ἂν ἔργον, ὧν ἕνεκα λέγεται, παράσχοι· ταῦτα μὲν οὖν ἴσως τάχ' ἂν κατὰ σχολὴν ὕστερον τῆς ἀξίας τύχοι διηγήσεως.

Ἐπειδὴ δὲ οὖν εἰς τὴν ἑαυτῷ πρέπουσαν ἕκαστον ἀφίκετο φορὰν, τῶν ὅσα ἔδει ξυναπεργάζεσθαι χρόνον, δεσμοῖς τε ἐμψύχοις σώματα δεθέντα, ζῶα ἐγενήθη, τό τε προσταχθὲν ἔμαθε· κατὰ δὴ τὴν θατέρου φορὰν πλαγίαν οὖσαν, διὰ τῆς ταυτοῦ φύσεως ἰοῦσάν τε καὶ κρατουμέ-

νην, τὸ μὲν μείζονα αὐτῶν, τὸ δὲ ἐλάττω κύκλον ἰόν· θᾶττον μὲν τὰ τὸν ἐλάττω, τὰ δὲ τὸν μείζονα βραδύτερον περιϊόντα· τῇ δὲ ταυτοῦ φορᾷ τὰ τάχιστα περιϊόντα, ὑπὸ τῶν βραδύτερον ἰόντων ἐφαίνετο, καταλαμβάνοντα, καταλαμβάνεσθαι. Πάντας γὰρ τοὺς κύκλους αὐτῶν στρέφουσα ἕλικι, διὰ τὸ διχῇ κατὰ τὰ ἐναντία ἅμα προϊέναι, τὸ βραδύτατα ἀπιὸν ἀφ᾽ αὐτῆς οὔσης ταχίστης, ἐγγύτατα ἀπέφαινεν. Ἵνα δὲ εἴη μέτρον ἐναργές τι πρὸς ἄλληλα βραδυτῆτι καὶ τάχει, καὶ τὰ περὶ τὰς ὀκτὼ φορὰς πορεύοιτο, φῶς ὁ Θεὸς ἀνῆψεν ἐν τῇ πρὸς γῆν δευτέρᾳ τῶν περιόδων, ὃ δὴ νῦν κεκλήκαμεν Ἥλιον, ἵνα ὅτι μάλιστα εἰς ἅπαντα φαίνοι τὸν οὐρανὸν, μετάσχοι τε ἀριθμοῦ τὰ ζῶα ὅσοις ἦν προσῆκον, μαθόντα παρὰ τῆς ταυτοῦ καὶ ὁμοίου περιφορᾶς. Νὺξ μὲν οὖν ἡμέρα τε γέγονεν οὕτω, καὶ διὰ ταῦτα ἡ τῆς μιᾶς καὶ φρονιμωτάτης κυκλήσεως περίοδος· μεὶς δὲ, ἐπειδὰν Σελήνη, περιελθοῦσα τὸν ἑαυτῆς κύκλον, Ἥλιον ἐπικαταλάβοι· ἐνιαυτὸς δὲ, ὁπόταν Ἥλιος τὸν ἑαυτοῦ περιέλθοι κύκλον. Τῶν δ᾽ ἄλλων τὰς περιόδους οὐκ ἐννενοηκότες ἄνθρωποι, πλὴν ὀλίγοι τῶν πολλῶν, οὔτε ὀνομάζουσιν, οὔτε πρὸς ἄλληλα ξυμμετροῦνται, σκοποῦντες ἀριθμοῖς· ὥστε, ὡς ἔπος εἰπεῖν, οὐκ ἴσασι χρόνον ὄντα τὰς τούτων πλάνας, πλήθει μὲν ἀμηχάνῳ χρωμένας, πεποικιλμένας δὲ θαυμαστῶς. Ἔστι δ᾽ ὅμως οὐδὲν ἧττον κατανοῆσαι δυνατὸν, ὡς ὅγε τέλεος ἀριθμὸς χρόνου τὸν τέλεον ἐνιαυτὸν πληροῖ τότε, ὅταν ἁπασῶν τῶν ὀκτὼ περιόδων τὰ πρὸς ἄλληλα ξυμπερανθέντα τάχη σχῇ κεφαλὴν, τῷ τοῦ ταυτοῦ καὶ ὁμοίως ἰόντος ἀναμετρηθέντα κύκλῳ.

Κατὰ ταυτὰ δὴ τούτων ἕνεκα ἐγεννήθη τῶν ἄστρων ὅσα δι᾽ οὐρανοῦ πορευόμενα ἔσχε τροπὰς, ἵνα τόδ᾽ ὡς ὁμοιότατον ᾖ τῷ τελεωτάτῳ καὶ νοητῷ ζώῳ πρὸς τὴν τῆς διαιωνίας μίμησιν φύσεως· καὶ τὰ μὲν ἄλλα εἴδη μέχρι χρόνου γενέσεως ἀπείργαστο εἰς ὁμοιότητα ᾧπερ ἀπεικά-

ζετο. Τῷ δὲ μήπω τὰ πάντα ζῶα ἐντὸς αὐτοῦ γεγενημένα περιειληφέναι, ταύτῃ ἔτι εἶχεν ἀνομοίως.

Τοῦτο δὴ τὸ κατάλοιπον ἀπειργάζετο αὐτοῦ, πρὸς τὴν τοῦ παραδείγματος ἀποτυπούμενος φύσιν· ᾗπερ οὖν νοῦς ἐνούσας ἰδέας τῷ ὅ ἐστι ζῶον, οἷαί τε ἔνεισι καὶ ὅσαι, καθορᾷ, τοιαύτας καὶ τοσαύτας διενοήθη δεῖν καὶ τόδε σχεῖν· εἰσὶ δὲ τέτταρες· μία μὲν, οὐράνιον θεῶν γένος· ἄλλη δὲ, πτηνὸν καὶ ἀεροπόρον· τρίτη δὲ, ἔνυδρον εἶδος· πεζὸν δὲ καὶ χερσαῖον, τέταρτον. Τοῦ μὲν οὖν θείου τὴν πλείστην ἰδέαν ἐκ πυρὸς ἀπειργάζετο, ὅπως ὅτι λαμπρότατον, ἰδεῖν τε κάλλιστον εἴη· τῷ δὲ παντὶ προσεικάζων, εὔκυκλον ἐποίει· τίθησί τε εἰς τὴν τοῦ κρατίστου φρόνησιν, ἐκείνῳ ξυνεπόμενον, νείμας περὶ πάντα κύκλῳ τὸν οὐρανὸν, κόσμον ἀληθινὸν αὐτῷ πεποικιλμένον εἶναι καθ' ὅλον. Κινήσεις δὲ δύο προσῆψεν ἑκάστῳ· τὴν μὲν, ἐν ταυτῷ κατὰ ταυτὰ, περὶ τῶν αὐτῶν ἀεὶ τὰ αὐτὰ ἑαυτῷ διανοουμένῳ· τὴν δὲ, εἰς τὸ πρόσθεν, ὑπὸ τῆς ταυτοῦ καὶ ὁμοίου περιφορᾶς κρατουμένῳ· τὰς δὲ πέντε κινήσεις ἀκίνητον, καὶ ἑστὼς, ἵν' ὅτι μάλιστα αὐτῶν ἕκαστον γένοιτο ὡς ἄριστον. Ἐξ ἧς δὴ τῆς αἰτίας γέγονεν ὅσα ἀπλανῆ τῶν ἄστρων ζῶα, θεῖα ὄντα, καὶ διὰ ταῦτα ἐν ταυτῷ στρεφόμενα ἀεὶ μένει· τὰ δὲ τρεπόμενα καὶ πλάνην τοιαύτην ἴσχοντα, καθάπερ ἐν τοῖς πρόσθεν ἐρρήθη, κατ' ἐκεῖνα γέγονε.

Γῆν δὲ, τροφὸν μὲν ἡμετέραν, εἱλουμένην δὲ περὶ τὸν διὰ παντὸς πόλον τεταμένον, φύλακα καὶ δημιουργὸν νυκτός τε καὶ ἡμέρας ἐμηχανήσατο, πρώτην καὶ πρεσβυτάτην σωμάτων ὅσα ἐντὸς οὐρανοῦ γέγονε.

Χορείας δὲ τούτων αὐτῶν καὶ παραβολὰς ἀλλήλων, καὶ περὶ τὰς τῶν κύκλων πρὸς ἑαυτοὺς ἐπανακυκλήσεις καὶ προσχωρήσεις, ἔν τε ταῖς ξυνάψεσιν, ὁποῖοι τῶν θεῶν κατ' ἀλλήλους γιγνόμενοι, καὶ ὅσοι κατ' ἀντικρὺ, μεθ' οὕς τινάς τε ἐπίπροσθεν ἀλλήλοις ἡμῖν τε κατὰ χρόνους οὕς τινας ἕκαστοι κατακαλύπτονται, καὶ πάλιν ἀναφαι-

νόμενοι φόβους καὶ σημεῖα τῶν μετὰ ταῦτα γενησομένων τοῖς δυναμένοις λογίζεσθαι πέμπουσι, τὸ λέγειν ἄνευ διόψεως τούτων αὖ τῶν μιμημάτων, μάταιος ἂν εἴη πόνος.

Ἀλλὰ ταῦτά τε ἱκανῶς ἡμῖν ταύτῃ, καὶ τὰ περὶ θεῶν ὁρατῶν καὶ γεννητῶν εἰρημένα φύσεως, ἐχέτω τέλος. Περὶ δὲ τῶν ἄλλων δαιμόνων εἰπεῖν, καὶ γνῶναι τὴν γένεσιν, μεῖζον ἢ καθ' ἡμᾶς. Πειστέον δὲ τοῖς εἰρηκόσιν ἔμπροσθεν, ἐκγόνοις μὲν θεῶν οὖσιν, ὡς ἔφασαν, σαφῶς δέ που τοὺς αὐτῶν προγόνους εἰδόσιν. Ἀδύνατον οὖν θεῶν παισὶν ἀπιστεῖν, καίπερ ἄνευ τε εἰκότων καὶ ἀναγκαίων ἀποδείξεων λέγουσιν, ἀλλ' ὡς οἰκεῖα φάσκουσιν ἀπαγγέλλειν, ἑπομένους τῷ νόμῳ πιστευτέον. Οὕτως οὖν κατ' ἐκείνους ἡμῖν ἡ γένεσις καὶ περὶ τούτων τῶν θεῶν ἐχέτω καὶ λεγέσθω· Γῆς τε καὶ Οὐρανοῦ παῖδες Ὠκεανός τε καὶ Τηθὺς ἐγενέσθην· ἐκ τούτων δὲ Φόρκυς τε καὶ Κρόνος καὶ Ῥέα, καὶ ὅσοι μετὰ τούτων· ἐκ δὲ Κρόνου καὶ Ῥέας, Ζεὺς, Ἥρα τε, καὶ πάντες ὅσους ἴσμεν πάντας ἀδελφοὺς λεγομένους αὐτῶν, ἔτι τε, τοὺς τούτων ἄλλους ἐκγόνους.

Ἐπεὶ οὖν πάντες ὅσοι τε περιπολοῦσι φανερῶς, καὶ ὅσοι φαίνονται καθ' ὅσον ἂν ἐθέλωσι θεοὶ, γένεσιν ἔσχον, λέγει πρὸς αὐτοὺς ὁ τόδε τὸ πᾶν γεννήσας, τάδε·

Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε, ἔργων, ἃ δι' ἐμοῦ γενόμενα, ἄλυτα, ἐμοῦ γε θέλοντος· τὸ μὲν οὖν δὴ δεθὲν πᾶν, λυτόν. Τόγε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν, κακοῦ. Δι' ἃ καὶ, ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ, οὐδ' ἄλυτοι τοπάμπαν· οὔτι μὲν δὴ λυθήσεσθέ γε, οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι δεσμοῦ καὶ κυριωτέρου λαχόντες ἐκείνων, οἷς, ὅτ' ἐγίγνεσθε, ξυνεδεῖσθε. Νῦν οὖν, ὃ λέγω πρὸς ὑμᾶς ἐνδεικνύμενος, μάθετε. Θνητὰ ἔτι γένη λοιπὰ τρία γεννητά· τούτων οὖν μὴ γενομένων, οὐρανὸς ἀτελὴς ἔσται· τὰ γὰρ ἅπαντα ἐν αὐτῷ γένη ζώων οὐχ ἕξει· δεῖ δὲ, εἰ μέλλει τέλειος ἱκανῶς εἶναι. Δι' ἐμοῦ δὲ ταῦτα γενόμενα καὶ βίου μετασχόντα, θεοῖς ἰσάζοιτ' ἄν· ἵν'

οὖν θνητά τε ᾖ, τό τε πᾶν ὄντως ἅπαν ᾖ, τρέπεσθε κατὰ φύσιν ὑμεῖς ἐπὶ τὴν τῶν ζώων δημιουργίαν, μιμούμενοι τὴν ἐμὴν δύναμιν περὶ τὴν ὑμῶν γένεσιν. Καὶ καθ᾽ ὅσον μὲν αὐτῶν ἀθανάτοις ὁμώνυμον προσήκει, θεῖον λεγόμενον, ἡγεμονοῦν τ᾽ ἐν αὐτοῖς, τῶν ἀεὶ δίκῃ καὶ ὑμῖν ἐθελόντων ἕπεσθαι, σπείρας καὶ ὑπαρξάμενος ἐγὼ παραδώσω. Τὸ δὲ λοιπὸν ὑμεῖς ἀθανάτῳ θνητὸν προσυφαίνοντες, ἀπεργάζεσθε ζῶα καὶ γεννᾶτε, τροφήν τε διδόντες αὐξάνετε, καὶ φθίνοντα πάλιν δέχεσθε.

Ταῦτ᾽ εἶπε· καὶ πάλιν ἐπὶ τὸν πρότερον κρατῆρα, ἐν ᾧ τὴν τοῦ παντὸς ψυχὴν κεραννὺς ἔμισγε, τὰ τῶν πρόσθεν ὑπόλοιπα κατεχεῖτο μίσγων, τρόπον μέν τινα τὸν αὐτὸν, ἀκήρατα δ᾽ οὐκέτι κατὰ ταυτὰ ὡσαύτως, ἀλλὰ δεύτερα καὶ τρίτα. Ξυστήσας δὲ τὸ πᾶν, διεῖλε ψυχὰς ἰσαρίθμους τοῖς ἄστροις, ἔνειμέ θ᾽ ἑκάστην πρὸς ἕκαστον, καὶ ἐμβιβάσας ὡς εἰς ὄχημα, τὴν τοῦ παντὸς φύσιν ἔδειξε, νόμους τε τοὺς εἱμαρμένους εἶπεν αὐταῖς·

Ὅτι γένεσις πρώτη μὲν ἔσοιτο τεταγμένη μία πᾶσιν, ἵνα μή τις ἐλαττοῖτο ὑπ᾽ αὐτοῦ· δέοι δὲ σπαρείσας αὐτὰς εἰς τὰ προσήκοντα ἑκάστοις ἕκαστα ὄργανα χρόνων, φῦναι ζῶον τὸ θεοσεβέστατον· διπλῆς δὲ οὔσης τῆς ἀνθρωπίνης φύσεως, τὸ κρεῖττον εἴη γένος τοιοῦτον, ὃ καὶ ἔπειτα κεκλήσοιτο ἀνήρ· ὁπότε δὴ σώμασιν ἐμφυτευθεῖεν ἐξ ἀνάγκης, καὶ τὸ μὲν προσίοι, τὸ δὲ ἀπίοι τοῦ σώματος αὐτῶν, πρῶτον μὲν αἴσθησιν ἀναγκαῖον εἴη μίαν πᾶσιν ἐκ βιαίων παθημάτων ξύμφυτον γίγνεσθαι· δεύτερον δὲ, ἡδονῇ καὶ λύπῃ μεμιγμένον ἔρωτα· πρὸς δὲ τούτοις, φόβον καὶ θυμὸν, ὅσα τε ἑπόμενα αὐτοῖς, καὶ ὁπόσα ἐναντίως πέφυκε διεστῶτα· ὧν εἰ μὲν κρατήσειαν, ἐν δίκῃ βιώσοιντο, κρατηθέντες δὲ, ἀδικίᾳ· καὶ ὁ μὲν εὖ τὸν προσήκοντα βιοὺς χρόνον, πάλιν εἰς τὴν τοῦ ξυννόμου πορευθεὶς οἴκησιν ἄστρου, βίον εὐδαίμονα ἕξοι· σφαλεὶς δὲ τούτων, εἰς

γυναικὸς φύσιν ἐν τῇ δευτέρᾳ γενέσει μεταβάλλοι· χιλιοστῷ δὲ ἔτει ἀμφότεραι ἀφικνούμεναι ἐπὶ κλήρωσιν καὶ αἵρεσιν τοῦ δευτέρου βίου, αἱροῦνται ὃν ἂν ἐθέλῃ βίον ἑκάστη, ἔνθα καὶ εἰς θηρίου βίον ἀνθρωπίνη ψυχὴ ἀφικνεῖται· μὴ παυόμενος δὲ ἐν τούτοις ἔτι κακίας, τρόπον ὃν κακύνοιτο, κατὰ τὴν ὁμοιότητα τῆς τοῦ τρόπου γενέσεως, εἴς τινα τοιαύτην ἀεὶ μεταβαλεῖ θηρίου φύσιν· ἀλλάττων τε οὐ πρότερον πόνων λήξει, πρὶν τῇ ταυτοῦ καὶ ὁμοίου περιόδῳ τῇ ἐν αὑτῷ ξυνεπισπώμενος, τὸν πολὺν ὄχλον καὶ ὕστερον προσφύντα ἐκ πυρὸς καὶ ὕδατος καὶ ἀέρος καὶ γῆς, θορυβώδη καὶ ἄλογον ὄντα, λόγῳ κρατήσας, εἰς τὸ τῆς πρώτης καὶ ἀρίστης ἀφίκοιτο εἶδος ἕξεως.

Διαθεσμοθετήσας δὲ πάντα αὐτοῖς ταῦτα, ἵνα τοῖς ἔπειτα εἴη κακίας ἑκάστων ἀναίτιος, ἔσπειρε τοὺς μὲν εἰς Ἥλιον, τοὺς δ' εἰς Σελήνην, τοὺς δ' εἰς τὰ ἄλλα ὅσα ὄργανα χρόνου. Τὸ δὲ μετὰ τὸν σπόρον τοῖς νέοις παρέδωκε θεοῖς, σώματα πλάττειν θνητὰ, τό τε ἐπίλοιπον ὅσον ἐστὶ ψυχῆς ἀνθρωπίνης δέον προσγενέσθαι, τοῦτο καὶ πάνθ' ὅσα ἀκόλουθα ἐκείνοις ἀπεργασαμένοις, ἄρχειν, καὶ κατὰ δύναμιν ὅτι κάλλιστα καὶ ἄριστα τὸ θνητὸν διακυβερνᾷν ζῶον, ὅτι μὴ κακῶν αὐτὸ ἑαυτῷ γίγνοιτο αἴτιον.

Καὶ ὁ μὲν δὴ ταῦτα πάντα διατάξας, ἔμενεν ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἤθει.

TIMÆUS.

MUNDUS ÆTERNUS, EXEMPLAR NOSTRI.

Ἀπείκασον τοιούτῳ πάθει τὴν ἡμετέραν φύσιν παιδείας τε πέρι, καὶ ἀπαιδευσίας. Ἴδε γὰρ ἀνθρώπους οἷον

ἐν καταγείῳ οἰκήσει σπηλαιώδει, ἀναπεπταμένην πρὸς τὸ φῶς τὴν εἴσοδον ἐχούσῃ μακρὰν παρ᾽ ἅπαν τὸ σπήλαιον· ἐν ταύτῃ ἐκ παίδων ὄντας ἐν δεσμοῖς καὶ τὰ σκέλη καὶ τοὺς αὐχένας· ὥστε μένειν τε αὐτοὺς, εἴς τε τὸ πρόσθεν μόνον ὁρᾷν, κύκλῳ δὲ τὰς κεφαλὰς ὑπὸ τοῦ δεσμοῦ ἀδυνάτους περιάγειν· φῶς δὲ αὐτοῖς πυρὸς ἄνωθεν καὶ πόῤῥωθεν καόμενον, ὄπισθεν αὐτῶν· μεταξὺ δὲ τοῦ πυρὸς καὶ τῶν δεσμωτῶν, ἐπάνω ὁδόν· παρ᾽ ἣν ἴδε τειχίον παρῳκοδομημένον, ὥσπερ τοῖς θαυματοποιοῖς πρὸ τῶν ἀνθρώπων πρόκειται τὰ παραφράγματα, ὑπὲρ ὧν τὰ θαύματα δεικνῦσιν. Ὅρα τοίνυν παρὰ τοῦτο τὸ τειχίον φέροντας ἀνθρώπους σκεύη τε παντοδαπὰ ὑπερέχοντα τοῦ τειχίου, καὶ ἀνδριάντας, καὶ ἄλλα ζῶα λίθινά τε καὶ ξύλινα, καὶ παντοῖα εἰργασμένα· οἷον εἰκὸς, τοὺς μὲν φθεγγομένους, τοὺς δὲ σιγῶντας τῶν παραφεροντῶν. Ἄτοπον λέγεις εἰκόνα, καὶ δεσμώτας ἀτόπους. Ὁμοίους ἡμῖν, ἦν δ᾽ ἐγώ.

Τοὺς γὰρ τοιούτους πρῶτον μὲν ἑαυτῶν τε καὶ ἀλλήλων οἴει ἄν τι ἑωρακέναι ἄλλο, πλὴν τὰς σκιὰς τὰς ὑπὸ τοῦ πυρὸς εἰς τὸ καταντικρὺ αὐτῶν τοῦ σπηλαίου προσπιπτούσας; Πῶς γὰρ, εἰ ἀκινήτους γε τὰς κεφαλὰς ἔχειν ἠναγκασμένοι εἶεν διὰ βίου; Τί δὲ τῶν παραφερομένων; οὐ ταυτὸν τοῦτο; Τί μήν; Εἰ οὖν διαλέγεσθαι οἷοί τ᾽ εἶεν πρὸς ἀλλήλους, οὐ ταῦτα ἡγεῖ ἂν τὰ παρόντα αὐτοὺς νομίζειν ὀνομάζειν, ἅπερ ὁρῷεν; Ἀνάγκη. Τί δ᾽ εἰ καὶ ἠχὼ τὸ δεσμωτήριον ἐκ τοῦ καταντικρὺ ἔχοι, ὁπότε τὶς τῶν παριόντων φθέγξαιτο, οἴει ἂν ἄλλο τι αὐτοὺς ἡγεῖσθαι τὸ φθεγγόμενον, ἢ τὴν παριοῦσαν σκιάν; Μὰ Δί᾽, οὐκ ἔγωγε. Παντάπασι δὴ οἱ τοιοῦτοι οὐκ ἂν ἄλλο τι νομίζοιεν τὸ ἀληθὲς, ἢ τὰς τῶν σκευαστῶν σκιάς.

Σκόπει δὴ αὐτῶν λύσιν τε καὶ ἴασιν τῶν τε δεσμῶν καὶ τῆς ἀφροσύνης, οἵα τις ἂν εἴη, εἰ φύσει τοιάδε ξυμβαίνοι αὐτοῖς. Ὁπότε τὶς λυθείη, καὶ ἀναγκάζοιτο ἐξαίφνης ἀνίστασθαί τε, καὶ περιάγειν τὸν αὐχένα, καὶ βα-

δίζειν, καὶ πρὸς τὸ φῶς ἀναβλέπειν· πάντα δὲ ταῦτα ποιῶν, ἀλγοῖ τε, καὶ διὰ τὰς μαρμαρυγὰς ἀδυνατοῖ καθορᾷν ἐκεῖνα, ὧν τότε τὰς σκιὰς ἑώρα· τί ἂν οἴει αὐτὸν εἰπεῖν, εἴ τις αὐτῷ λέγοι, ὅτι τότε μὲν ἑώρα φλυαρίας, νῦν δὲ μᾶλλόν τι ἐγγυτέρω τοῦ ὄντος, καὶ πρὸς μᾶλλον ὄντα τετραμμένος, ὀρθότερα βλέποι, καὶ δὴ καὶ ἕκαστον τῶν παριόντων δεικνὺς αὐτῷ, ἀναγκάζοι ἐρωτῶν ἀποκρίνεσθαι ὅ τι ἔστιν; οὐκ οἴει αὐτὸν ἀπορεῖν τε ἂν, καὶ ἡγεῖσθαι τὰ τότε ὁρώμενα ἀληθέστερα, ἢ τὰ νῦν δεικνύμενα; Οὐκοῦν, κᾂν εἰ πρὸς αὐτὸ τὸ φῶς ἀναγκάζοι αὐτὸν βλέπειν, ἀλγεῖν τε ἂν τὰ ὄμματα, καὶ φεύγειν ἀποστρεφόμενον πρὸς ἐκεῖνα ἃ δύναται καθορᾷν, καὶ νομίζειν ταῦτα τῷ ὄντι σαφέστερα τῶν δεικνυμένων;

Εἰ δ' ἐντεῦθεν ἕλκοι τὶς αὐτὸν βίᾳ διὰ τραχείας τῆς ἀναβάσεως καὶ ἀνάντους, καὶ μὴ ἀνείη, πρὶν ἐξελκύσειεν εἰς τὸ τοῦ ἡλίου φῶς, ἆρα οὐχὶ ὀδυνᾶσθαί τε ἂν καὶ ἀγανακτεῖν ἑλκόμενον, καὶ, ἐπειδὴ πρὸς τὸ φῶς ἔλθοι, αὐγῆς ἂν ἔχοντα τὰ ὄμματα μεστὰ, ὁρᾷν οὐδὲν ἂν δύνασθαι τῶν νῦν λεγομένων ἀληθῶν; Οὐ γὰρ ἂν ἐξαίφνης γε. Ξυνηθείας δὲ, οἶμαι, δέοιτ' ἂν, εἰ μέλλοι τὰ ἄνω ὄψεσθαι. Καὶ πρῶτον μὲν τὰς σκιὰς ἂν ῥᾷστα καθορῷη· μετὰ τοῦτο, ἐν τοῖς ὕδασι τά τε τῶν ἀνθρώπων καὶ τὰ τῶν ἄλλων εἴδωλα· ὕστερον δὲ, αὐτά· ἐκ δὲ τούτων, τὰ ἐν τῷ οὐρανῷ, καὶ αὐτὸν ἂν τὸν οὐρανὸν νύκτωρ ἂν ῥᾷον θεάσαιτο, προσβλέπων τὸ τῶν ἄστρων τε καὶ σελήνης φῶς, ἢ μεθ' ἡμέραν τὸν ἥλιόν τε, καὶ τὸ τοῦ ἡλίου. Τελευταῖον δὴ, οἶμαι, τὸν ἥλιον, οὐκ ἐν ὕδασιν, οὐδ' ἐν ἀλλοτρίᾳ ἕδρᾳ φαντάσματα αὐτοῦ, ἀλλ' αὐτὸν καθ' αὑτὸν, ἐν τῇ αὑτοῦ χώρᾳ, δύναιτ' ἂν κατιδεῖν καὶ θεάσασθαι οἷός ἐστιν. Καὶ μετὰ ταῦτ' ἂν ἤδη ξυλλογίζοιτο περὶ αὐτοῦ, ὅτι οὗτός ἐστιν ὁ τάς τε ὥρας παρέχων καὶ ἐνιαυτοὺς, καὶ πάντα ἐπιτροπεύων τὰ ἐν τῷ ὁρωμένῳ τόπῳ, καὶ ἐκείνων, ὧν σφεῖς ἑώρων, τρόπον τινὰ πάντων αἴτιος. Δῆλον, ὅτι ἐπὶ ταῦτα ἂν μετ' ἐκεῖνα ἔλθοι.

Τί οὖν; ἀναμιμνησκόμενον αὐτὸν τῆς πρώτης οἰκήσεως, καὶ τῆς ἐκεῖ σοφίας, καὶ τῶν τότε ξυνδεσμωτῶν, οὐκ ἂν οἴει ἑαυτὸν μὲν εὐδαιμονίζειν τῆς μεταβολῆς, τοὺς δ' ἐλεεῖν; Τιμαὶ δὲ καὶ ἔπαινοι εἴ τινες αὐτοῖς ἦσαν τότε παρ' ἀλλήλων καὶ γέρα, τῷ ὀξύτατα καθορῶντι τὰ παριόντα, καὶ μνημονεύοντι μάλιστα, ὅσα τε πρότερα αὐτῶν καὶ ὕστερα εἰώθει καὶ ἅμα πορεύεσθαι, καὶ ἐκ τούτων δὴ δυνατώτατα ἀπομαντευομένῳ τὸ μέλλον ἥξειν, δοκεῖς ἂν αὐτὸν ἐπιθυμητικῶς αὐτῶν ἔχειν, καὶ ζηλοῦν τοὺς παρ' ἐκείνοις τιμωμένους τε καὶ ἐνδυναστεύοντας; ἢ τὸ τοῦ Ὁμήρου ἂν πεπονθέναι, καὶ σφόδρα βούλεσθαι, ἐπάρουρον ἐόντα θητευέμεν ἄλλῳ Ἀνδρὶ παρ' ἀκλήρῳ, καὶ ὁτιοῦν ἂν πεπονθέναι μᾶλλον, ἢ 'κεῖνά τε δοξάζειν καὶ ἐκείνως ζῆν; Οὕτως ἔγωγε οἶμαι, πᾶν μᾶλλον πεπονθέναι ἂν δέξασθαι, ἢ ζῆν ἐκείνως.

Καὶ τόδε δὴ ἐννόησον· εἰ πάλιν ὁ τοιοῦτος καταβὰς εἰς τὸν αὐτὸν θῶκον καθίζοιτο, ἆρ' οὐ σκότους ἀνάπλεως σχοίη τοὺς ὀφθαλμοὺς, ἐξαίφνης ἥκων ἐκ τοῦ ἡλίου; Τὰς δὲ δὴ σκιὰς ἐκείνας πάλιν εἰ δέοι αὐτὸν γνωματεύοντα, διαμιλλᾶσθαι τοῖς ἀεὶ δεσμώταις ἐκείνοις, ἐν ᾧ ἀμβλυώττει πρὶν καταστῆναι τὰ ὄμματα, οὗτος δ' ὁ χρόνος μὴ πάνυ ὀλίγος εἴη τῆς ξυνηθείας, ἆρ' οὐ γέλωτ' ἂν παράσχοι; καὶ λέγοιτο ἂν περὶ αὐτοῦ, ὡς ἀναβὰς ἄνω διεφθαρμένος ἥκοι τὰ ὄμματα; καὶ ὅτι οὐκ ἄξιον οὐδὲ πειρᾶσθαι ἄνω ἰέναι, καὶ τὸν ἐπιχειροῦντα λύειν τε καὶ ἀνάγειν, εἴ πως ἐν ταῖς χερσὶ δύναιντο λαβεῖν, καὶ ἀποκτιννύναι;

Ταύτην τοίνυν τὴν εἰκόνα προσαπτέον ἅπασαν τοῖς ἔμπροσθεν λεγομένοις, τὴν μὲν δι' ὄψεως φαινομένην ἕδραν, τῇ τοῦ δεσμωτηρίου οἰκήσει ἀφομοιοῦντα· τὸ δὲ τοῦ πυρὸς ἐν αὐτῇ φῶς, τῇ τοῦ ἡλίου δυνάμει· τὴν δὲ ἄνω ἀνάβασιν καὶ θέαν τῶν ἄνω, τὴν εἰς τὸν νοητὸν τόπον τῆς ψυχῆς ἄνοδον τιθεὶς, οὐχ ἁμαρτήσεις τῆς γ' ἐμῆς ἐλπίδος, ἐπειδὴ ταύτης ἐπιθυμεῖς ἀκούειν· θεὸς δέ που οἶδεν, εἰ ἀληθὴς

οὖσα τυγχάνει· τὰ δ᾽ οὖν ἐμοὶ φαινόμενα οὕτω φαίνεται.

Ἐν τῷ γνωστῷ τελευταία ἡ τοῦ ἀγαθοῦ ἰδέα καὶ μόγις ὁρᾶσθαι· ὀφθεῖσα δὲ, ξυλλογιστέα εἶναι ὡς ἄρα πᾶσι πάντων αὕτη ὀρθῶν τε καὶ καλῶν αἰτία· ἔν τε ὁρατῷ φῶς, καὶ τὸν τούτου κύριον τεκοῦσα· ἔν τε τῷ νοητῷ, αὕτη κυρία ἀλήθειαν καὶ νοῦν παρασχομένη· καὶ ὅτι δεῖ ταύτην ἰδεῖν τὸν μέλλοντα ἐμφρόνως πράξειν, ἢ ἰδίᾳ, ἢ δημοσίᾳ. Ἴθι δὴ τοίνυν, καὶ τόδε ξυννοιήθητι, καὶ μὴ θαυμάσῃς, ὅτι οἱ ἐνταῦθα ἐλθόντες οὐκ ἐθέλουσι τὰ τῶν ἀνθρώπων πράττειν, ἀλλ᾽ ἄνω ἀεὶ ἐπείγονται αὐτῶν αἱ ψυχαὶ διατρίβειν· εἰκὸς γάρ που οὕτως, εἴπερ αὖ κατὰ τὴν προειρημένην εἰκόνα ταῦτ᾽ ἔχει. Τί δέ; τόδε οἴει τι θαυμαστὸν, εἰ ἀπὸ θείων θεωριῶν ἐπὶ τὰ ἀνθρώπειά τις ἐλθὼν κακὰ, ἀσχημονεῖ τε, καὶ φαίνεται σφόδρα γελοῖος, ἔτι ἀμβλυώττων, καὶ, πρὶν ἱκανῶς ξυνήθης γενέσθαι τῷ παρόντι σκότῳ, ἀναγκαζόμενος ἐν δικαστηρίοις, ἢ ἄλλοθί που ἀγωνίζεσθαι περὶ τῶν τοῦ δικαίου σκιῶν, ἢ ἀγαλμάτων, ὧν αἱ σκιαὶ, καὶ διαμιλλᾶσθαι περὶ τούτου, ὅπη ποτὲ ὑπολαμβάνεται ταῦτα ὑπὸ τῶν αὐτὴν δικαιοσύνην μὴ πώποτε ἰδόντων; Ἀλλ᾽ εἰ νοῦν γε ἔχοι τὶς, μεμνῇτ᾽ ἂν, ὅτι διτταὶ καὶ ἀπὸ διττῶν γίγνοιντ᾽ ἂν ἐπιταράξεις ὄμμασιν, ἔκ τε φωτὸς εἰς σκότος μετισταμένων, καὶ ἐκ σκότου εἰς φῶς. Ταῦτα δὲ ταυτὰ νομίσας τὶς γίγνεσθαι καὶ περὶ ψυχὴν, ὁπότε ἴδοι θορυβουμένην τινὰ καὶ ἀδυνατοῦσάν τι καθορᾷν, οὐκ ἂν ἀλογίστως γελῴη, ἀλλ᾽ ἐπισκοποῖ ἂν πότερον ἐκ φανωτέρου βίου ἥκουσα ὑπὸ ἀμαθίας ἐσκότωται, ἢ ἐξ ἀμαθίας πλείονος εἰς φανώτερον ἰοῦσα, ὑπὸ λαμπροτέρου μαρμαρυγῆς ἐμπέπλησται. Καὶ οὕτω δὴ τὴν μὲν εὐδαιμονίσειεν ἂν τοῦ πάθους τε καὶ βίου· τὴν δὲ ἐλεήσειεν· καὶ εἰ γελᾷν ἐπ᾽ αὐτῇ βούλοιτο, ἧττον ἂν καταγέλαστος ὁ γέλως αὐτῷ εἴη, ἢ ὁ ἐπὶ τῇ ἄνωθεν ἐκ φωτὸς ἡκούσῃ.

Δεῖ δὴ ἡμᾶς τοιόνδε νομίσαι περὶ αὐτῶν, εἰ ταῦτα

ἀληθῆ· τὴν παιδείαν οὐχ, οἵαν τινὲς ἀπαγγελλόμενοι φασὶν εἶναι, τοιαύτην καὶ εἶναι. Φασὶ δέ που, οὐκ ἐνούσης ἐν τῇ ψυχῇ ἐπιστήμης, σφεῖς ἐντιθέναι, οἷον τυφλοῖς ὀφθαλμοῖς ὄψιν ἐντιθέντες. Ὁ δέ γε νῦν λόγος σημαίνει, ταύτην τὴν ἐνοῦσαν ἑκάστου δύναμιν ἐν τῇ ψυχῇ, καὶ τὸ ὄργανον ᾧ καταμανθάνει ἕκαστος, οἷον εἰ ὄμμα μὴ δυνατὸν ἦν ἄλλως, ἢ ξὺν ὅλῳ τῷ σώματι στρέφειν πρὸς τὸ φανὸν ἐκ τοῦ σκοτώδους, οὕτω ξὺν ὅλῃ τῇ ψυχῇ ἐκ τοῦ γιγνομένου περιακτέον εἶναι, ἕως ἂν εἰς τὸ ὂν, καὶ τοῦ ὄντος τὸ φανώτατον, δυνατὴ γένηται ἀνασχέσθαι θεωμένη· τοῦτο δ' εἶναι φαμὲν τἀγαθόν.

De Republica, VII.

DE NATURA DEORUM.

I. Φέρε δὴ, πῶς ἄν τις μὴ θυμῷ λέγοι περὶ θεῶν, ὡς εἰσίν; Ἀνάγκη γὰρ δὴ χαλεπῶς φέρειν καὶ μισεῖν ἐκείνους, οἳ τούτων ἡμῖν αἴτιοι τῶν λόγων γεγένηνται καὶ γίγνονται. Νῦν οὖν, πειθόμενοι τοῖς μύθοις, οὓς ἐκ νέων παίδων, ἔτι ἐν γάλαξι τρεφόμενοι, τροφῶν τε ἤκουον καὶ μητέρων, οἷον ἐν ἐπῳδαῖς μετά τε παιδιᾶς καὶ μετὰ σπουδῆς λεγομένους, καὶ μετὰ θυσιῶν ἐν εὐχαῖς αὐτοὺς ἀκούοντές τε, καὶ ὄψεις ὁρῶντες ἑπομένας αὐτοῖς, ἃς ἥδιστα ὅγε νέος ὁρᾷ τε καὶ ἀκούει πραττομένας, θυόντων ἐν σπουδῇ τῇ μεγίστῃ τῶν αὐτῶν γονέων, ὑπὲρ αὐτῶν τε καὶ ἐκείνων ἐσπουδακότων, ὡς ὅτι μάλιστα οὖσι θεοῖς εὐχαῖς προσδιαλεγομένων καὶ ἱκετείαις· ἀνατέλλοντός τε ἡλίου καὶ σελήνης, καὶ πρὸς δυσμὰς ἰόντων, προκυλίσεις ἅμα καὶ προσκυνήσεις ἀκούοντές τε καὶ ὁρῶντες Ἑλλήνων τε καὶ βαρβάρων πάντων ἐν ξυμφοραῖς

παντοίαις ἐχομένων καὶ ἐν εὐπραγίαις, οὐχ ὡς οὐκ ὄντων, ἀλλ᾽ ὡς ὅτι μάλιστα ὄντων, καὶ οὐδαμῆ ὑποψίαν ἐνδιδόντων ὡς οὐκ εἰσὶ θεοί· τούτων δὴ πάντων ὅσοι καταφρονήσαντες οὐδὲ ἐξ ἑνὸς ἱκανοῦ λόγου, ὡς φαῖεν ἂν ὅσοι καὶ σμικρὸν νοῦ κέκτηνται, νῦν ἀναγκάζουσιν ἡμᾶς λέγειν ἃ λέγομεν, πῶς τούτους ἄν τις ἐν πραέσι λόγοις δύναιτο νουθετῶν ἅμα διδάσκειν περὶ θεῶν πρῶτον ὡς εἰσί; Τολμητέον δέ· οὐ γὰρ ἅμα γε δεῖ μανῆναι, τοὺς μὲν ὑπὸ λαιμαργίας ἡδονῆς ἡμῶν, τοὺς δ᾽ ὑπὸ τοῦ θυμοῦσθαι τοῖς τοιούτοις. Ἴτω δὴ πρόῤῥησις τοιάδε τις ἄθυμος τοῖς οὕτω τὴν διάνοιαν διεφθαρμένοις, καὶ λέγωμεν πρᾴως, σβέσαντες τὸν θυμὸν, ὡς ἑνὶ διαλεγόμενοι τῶν τοιούτων·

Ὦ παῖ, νέος εἶ· προϊὼν δέ σε ὁ χρόνος ποιήσει πολλὰ, ὧν νῦν δοξάζεις, μεταβαλόντα, ἐπὶ τἀναντία τίθεσθαι. Περίμεινον οὖν εἰς τότε κριτὴς περὶ τῶν μεγίστων γίγνεσθαι· μέγιστον δὲ, ὃ νῦν οὐδὲν ἡγεῖ σὺ, τὸ, περὶ τοὺς θεοὺς ὀρθῶς διανοηθέντα, ζῆν καλῶς ἢ μή. Πρῶτον δὲ περὶ αὐτῶν ἕν τι μέγα σοὶ μηνύων οὐκ ἄν ποτε φανείην ψευδὴς, τὸ τοιόνδε· οὐ σὺ μόνος, οὐδὲ οἱ σοὶ φίλοι, πρῶτοι καὶ πρῶτον ταύτην δόξαν περὶ θεῶν ἔσχετε· γίγνονται δὲ ἀεὶ πλείους, ἢ ἐλάττους, ταύτην τὴν νόσον ἔχοντες· τὸ δὲ τοίνυν σοὶ παραγεγονὸς αὐτῶν πολλοῖς φράζοιμ᾽ ἂν, τὸ μηδένα πώποτε λαβόντα ἐκ νέου ταύτην τὴν δόξαν περὶ θεῶν, ὡς οὐκ εἰσὶ, διατελέσαι πρὸς γῆρας μείναντα ἐν ταύτῃ τῇ διανοήσει. Τὰ δύο μέντοι πάθη περὶ θεοὺς μεῖναι, πολλοῖσι μὲν οὔ· μεῖναι δὲ οὖν τισὶ, τὸ τοὺς θεοὺς εἶναι μὲν, φροντίζειν δὲ οὐδὲν τῶν ἀνθρωπίνων· καὶ τὸ μετὰ τοῦτο, ὡς φροντίζουσι μὲν, εὐπαραμύθητοι δέ εἰσι θύμασι καὶ εὐχαῖς. Τὸ δὴ σαφὲς ἂν γενόμενόν σοι περὶ αὐτῶν κατὰ δύναμιν δόγμα, ἂν ἐμοὶ πείθῃ, περιμενεῖς, ἀνασκοπῶν εἴ τε οὕτως, εἴτε ἄλλως ἔχει· πυνθανόμενος παρά τε τῶν ἄλλων, καὶ δὴ καὶ μάλιστα καὶ παρὰ τοῦ νομοθέτου. Ἐν δὲ δὴ τούτῳ

τῷ χρόνῳ, μὴ τολμήσῃς περὶ θεοὺς μηδὲν ἀσεβῆσαι· πειρατέον γὰρ τῷ τοὺς νόμους σοὶ τιθέντι νῦν, καὶ εἰσαῦθις, διδάσκειν περὶ αὐτῶν τούτων ὡς ἔχει......

II. Τὸν δὲ ἡγούμενον μὲν θεοὺς εἶναι, μὴ φροντίζειν δὲ αὐτοὺς ἀνθρωπίνων πραγμάτων, παραμυθητέον· Ὦ ἄριστε δὴ, φῶμεν, ὅτι μὲν ἡγεῖ θεοὺς, ξυγγένειά τις ἴσως σε θεία πρὸς τὸ ξύμφυτον ἄγει τιμᾷν καὶ νομίζειν εἶναι· κακῶν δ' ἀνθρώπων καὶ ἀδίκων τύχαι ἰδίᾳ καὶ δημοσίᾳ, ἀληθείᾳ μὲν οὐκ εὐδαίμονες, δόξῃ δὲ εὐδαιμονιζόμεναι σφόδρα, ἀλλ' οὐκ ἐμμελῶς, ἄγουσί σε πρὸς ἀσέβειαν, ἔν τε μούσαις οὐκ ὀρθῶς ὑμνούμεναι ἅμα καὶ ἐν παντοίοις λόγοις. Ἢ καὶ πρὸς τέλος ἴσως ἀνοσίους ἀνθρώπους ὁρῶν ἐλθόντας γηραιοὺς, παῖδας παίδων καταλιπόντας ἐν τιμαῖς ταῖς μεγίσταις, ταράττῃ τανῦν ἐν ἅπασι τούτοις, ἰδὼν, ἢ δι' ἀκοῆς αἰσθόμενος· ἢ καὶ παντάπασιν αὐτὸς αὐτῶν αὐτόπτης προστυχὼν πολλῶν ἀσεβημάτων καὶ δεινῶν γενομένων τισὶ, δι' αὐτὰ ταῦτα ὁρᾷς ἐκ σμικρῶν εἰς τυραννίδας τε καὶ τὰ μέγιστα ἀφικομένους. Τότε διὰ πάντα τοιαῦτα δῆλος εἶ μέμφεσθαι τοὺς θεοὺς, ὡς αἰτίους ὄντας τῶν τοιούτων, διὰ ξυγγένειαν οὐκ ἂν ἐθέλων· ἀγόμενος δὲ ὑπό τινος ἀλογίας ἅμα, καὶ οὐ δυνάμενος δυσχεραίνειν θεοὺς, εἰς τοῦτο νῦν τὸ πάθος ἐλήλυθας, ὥστ' εἶναι μὲν δοκεῖν αὐτοὺς, τῶν δ' ἀνθρωπίνων καταφρονεῖν καὶ ἀμελεῖν πραγμάτων.

Ἵνα οὖν μὴ ἐπὶ μεῖζον ἔλθῃ σοὶ πάθος πρὸς ἀσέβειαν τὸ νῦν παρὸν δόγμα, ἀλλ', ἐάν πως οἷον ἀποδιοπομπήσασθαι λόγοις αὐτὸ προσιὸν γενώμεθα δύνατοι, πειρώμεθα, ξυνάψαντες τὸν ἑξῆς λόγον, ᾧ πρὸς τὸν τοπαράπαν οὐχ ἡγούμενον θεοὺς ἐξαρχῆς διεπερανάμεθα, τούτῳ τανῦν προσχρήσασθαι......

Πείθωμεν τὸν νεανίαν τοῖς λόγοις, ὡς τῷ τοῦ παντὸς ἐπιμελουμένῳ, πρὸς τὴν σωτηρίαν καὶ ἀρετὴν τοῦ ὅλου, πάντ' ἐστὶ ξυντεταγμένα· ὧν καὶ τὸ μερὸς εἰς δύναμιν ἕκαστον τὸ προσῆκον πάσχει καὶ ποιεῖ· τούτοις δ' εἰσὶν

ἄρχοντες προστεταγμένοι ἑκάστοις ἐπὶ τὸ σμικρότατον ἀεὶ πάθης καὶ πράξεως, εἰς μερισμὸν τὸν ἔσχατον τέλος ἀπειργασμένοι. Ὧν ἓν καὶ τὸ σὸν, ὦ σχέτλιε, μόριον εἰς τὸ πᾶν ξυντείνει βλέπον ἀεὶ, καίπερ πάνσμικρον ὄν· σὲ δὲ λέληθε περὶ τοῦτο αὐτὸ, ὡς γένεσις ἕνεκα ἐκείνου γίγνεται πᾶσα· ὅπως ᾖ ἡ τῷ τοῦ παντὸς βίῳ ὑπάρχουσα εὐδαίμων οὐσία, οὐχ ἕνεκα σοῦ γιγνομένη, σὺ δὲ ἕνεκα ἐκείνου. Πᾶς γὰρ ἰατρὸς, καὶ πᾶς ἔντεχνος δημιουργὸς, παντὸς μὲν ἕνεκα πάντα ἐργάζεται πρὸς τὸ κοινῇ ξυντεῖνον βέλτιστον· μέρος μὴν ἕνεκα ὅλου, καὶ οὐχ ὅλον μέρους ἕνεκα ἀπεργάζεται· σὺ δὲ ἀγανακτεῖς, ἀγνοῶν ὅπη τὸ περὶ σὲ ἄριστον τῷ παντὶ ξυμβαίνει καὶ σοὶ, κατὰ δύναμιν τὴν τῆς κοινῆς γενέσεως.

Ἐπεὶ δὲ ἀεὶ ψυχὴ ἐπιτεταγμένη σώματι τοτὲ μὲν ἄλλῳ, τοτὲ δὲ ἄλλῳ, μεταβάλλει παντοίας μεταβολὰς δι᾽ ἑαυτὴν, ἢ δι᾽ ἑτέραν ψυχὴν, οὐδὲν ἄλλο ἔργον τῷ πεττευτῇ λείπεται, πλὴν μετατιθέναι τὸ μὲν ἄμεινον γιγνόμενον ἦθος εἰς βελτίω τόπον, χεῖρον δὲ, εἰς τὸν χείρονα, κατὰ τὸ πρέπον αὐτῶν ἕκαστον, ἵνα τῆς προσηκούσης μοίρας λαγχάνῃ.

Ἧ περ ἂν ἔχοι λόγον ῥαστώνη ἐπιμελείας θεοῖς τῶν πάντων, ταύτῃ μοὶ δοκῶ φράζειν. Εἰ μὲν γὰρ πρὸς τὸ ὅλον ἀεὶ βλέπων πλάττοι τὶς, μετασχηματίζων τὰ πάντα, οἷον ἐκ πυρὸς ὕδωρ ἔμψυχον, καὶ μὴ ξύμπολλα ἐξ ἑνὸς, ἢ ἐκ πολλῶν ἓν, πρώτης ἢ δευτέρας ἢ καὶ τρίτης γενέσεως μετειληφότα, πλήθεσιν ἄπειρ᾽ ἂν εἴη τῆς μετατιθεμένης κοσμήσεως· νῦν δ᾽ ἔστι θαυμαστὴ ῥαστώνη τῷ τοῦ παντὸς ἐπιμελουμένῳ.

Ἐπειδὴ κατεῖδεν ἡμῶν ὁ βασιλεὺς ἐμψύχους οὔσας τὰς πράξεις ἁπάσας, καὶ πολλὴν μὲν ἀρετὴν ἐν αὐταῖς οὖσαν, πολλὴν δὲ κακίαν· ἀνώλεθρον δὲ ὂν γενόμενον, ἀλλ᾽ οὐκ αἰώνιον ψυχὴν καὶ σῶμα, καθάπερ οἱ κατὰ νόμον ὄντες θεοί· γένεσις γὰρ οὐκ ἄν ποτε ἦν ζώων, ἀπολομένου τούτοιν θατέρου· καὶ τὸ μὲν ὠφελεῖν ἀγαθὸν ἀεὶ πεφυκὸς,

ὅσον ἀγαθὸν ψυχῆς, διενοήθη, τὸ δὲ κακὸν, βλάπτειν· ταῦτα πάντα ξυνιδὼν, ἐμηχανήσατο ποῦ κείμενον ἕκαστον τῶν μερῶν, νικῶσαν ἀρετὴν, ἡττωμένην δὲ κακίαν ἐν τῷ παντὶ παρέχοι μάλιστ' ἂν καὶ ῥᾷστα καὶ ἄριστα. Μεμηχάνηται δὴ πρὸς πᾶν τοῦτο, τὸ, ποῖόν τι γιγνόμενον ἀεὶ, ποίαν ἕδραν δεῖ μεταλαμβάνον οἰκίζεσθαι, καὶ τίνας ποτὲ τόπους· τῆς δὲ γενέσεως τοῦ ποίου τινὸς ἀφῆκε ταῖς βουλήσεσιν ἑκάστων ἡμῶν τὰς αἰτίας. Ὅπη γὰρ ἂν ἐπιθυμῇ καὶ ὁποῖός τις ὢν τὴν ψυχὴν, ταύτῃ σχεδὸν ἑκάστοτε καὶ τοιοῦτος γίγνεται ἅπας ἡμῶν ὡς τὸ πολύ. Μεταβάλλει μὲν τοίνυν πάνθ' ὅσα μέτοχά ἐστι ψυχῆς, ἐν ἑαυτοῖς κεκτημένα τὴν τῆς μεταβολῆς αἰτίαν· μεταβάλλοντα δὲ φαίνεται κατὰ τὴν τῆς εἱμαρμένης τάξιν καὶ νόμον. Σμικρότερα μὲν τῶν ἠθῶν μεταβάλλοντα, ἐλάττω κατὰ τὸ τῆς χώρας ἐπίπεδον μεταπορεύεται· πλείω δὲ καὶ ἀδικώτερα, μεταπεσόντα εἰς βάθος, τά τε κάτω λεγόμενα τῶν τόπων, ὅσα, ᾅδην τε καὶ τὰ τούτων ἐχόμενα τῶν ὀνομάτων ἐπονομάζοντες, σφόδρα φοβοῦνται καὶ ὀνειροπολοῦσι ζῶντες, διαλυθέντες τε τῶν σωμάτων· μείζω δὲ δὴ ψυχὴ κακίας ἢ ἀρετῆς ὁπόταν μεταβάλῃ, διὰ τὴν αὑτῆς βούλησίν τε καὶ ὁμιλίαν γενομένην ἰσχυρὰν, ὁπόταν μὲν ἀρετῇ θείᾳ προσμίξασα γίγνηται διαφερόντως τοιαύτη, διαφέροντα καὶ μετέβαλε τόπον ἅγιον ὅλον, μετακομισθεῖσα εἰς ἀμείνω τινὰ τόπον ἕτερον· ὅταν δὲ τἀναντία, ἐπὶ τἀναντία μεθιδρύσασα τὸν αὑτῆς βίον.

Αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ ὄλυμπον ἔχουσιν,

ὦ παῖ καὶ νεανίσκε, ἀμελεῖσθαι δοκῶν ὑπὸ θεῶν· κακίω μὲν γιγνόμενον πρὸς τὰς κακίους ψυχὰς, ἀμείνω δὲ πρὸς τὰς ἀμείνους πορευόμενον, ἔν τε ζωῇ καὶ ἐν πᾶσι θανάτοις πάσχειν τε καὶ ποιεῖν, ἃ προσῆκον δρᾷν ἐστὶ τοῖς προσφερέσι τοὺς προσφερεῖς. Ταύτης τῆς δίκης οὔτε σὺ μήποτε, οὔτε εἰ ἄλλος ἀτυχὴς γενόμενος, ἐπεύξηται περιγενέσθαι θεῶν· ἣν πασῶν δικῶν διαφερόντως ἔταξάν

τε οἱ τάξαντες, χρεὼν τε ἐξευλαβεῖσθαι τοπαράπαν. Οὐ γὰρ ἀμεληθήσῃ ποτὲ ὑπ᾽ αὐτῆς· οὐχ οὕτω σμικρὸς ὢν δύσῃ κατὰ τὸ τῆς γῆς βάθος, οὐδ᾽ ὑψηλὸς γενόμενος, εἰς τὸν οὐρανὸν ἀναπτήσῃ· τίσεις δὲ αὐτῶν τὴν προσήκουσαν τιμωρίαν, εἴτ᾽ ἐνθάδε μένων, εἴτε καὶ ἐν ᾅδου διαπορευθεὶς, εἴτε καὶ τούτων εἰς ἀγριώτερον ἔτι διακομισθεὶς τόπον. Ὁ αὐτὸς δὲ λόγος σοὶ καὶ περὶ ἐκείνων ἂν εἴη, τῶν, οὓς σὺ κατιδὼν ἐκ σμικρῶν μεγάλους γεγονότας ἀνοσιουργήσαντας, ἤ τι τοιοῦτον πράξαντας, ᾠήθης ἐξ ἀθλίων εὐδαίμονας γεγονέναι, κᾆτα, ὡς ἐν κατόπτροις, αὐτῶν ταῖς πράξεσιν, ἡγήσω καθεωρακέναι τὴν πάντων ἀμέλειαν θεῶν, οὐκ εἰδὼς αὐτῶν τὴν ξυντέλειαν, ὅπῃ ποτὲ τῷ παντὶ ξυμβάλλεται. Γιγνώσκειν δὲ αὐτὴν, ὦ πάντων ἀνδρειότατε, πῶς οὐ δεῖν δοκεῖς; ἥν τις μὴ γιγνώσκων οὐδ᾽ ἂν τύπον ἴδοι ποτὲ, οὐδὲ λόγον ξυμβάλλεσθαι περὶ βίου δυνατὸς ἂν γένοιτο εἰς εὐδαιμονίαν τε καὶ δυσδαίμονα τύχην. Ταῦτα εἰ μέν σε πείθει, περὶ θεῶν ὡς οὐκ οἶσθα ὅ τι λέγεις, καλῶς ἄν σοι ὁ θεὸς αὐτὸς ξυλλαμβάνοι.

Εἰ δ᾽ ἐπιδεὴς λόγου τινὸς ἔτι ἂν εἴης, λεγόντων ἡμῶν πρὸς τὸν τρίτον ἐπάκουε, εἴ νοῦν καὶ ὁπωσοῦν ἔχεις.

III. Ὅτι μὲν γὰρ θεοί τε εἰσὶ καὶ ἀνθρώπων ἐπιμέλονται, ἔγωγε οὐ παντάπασι φαύλως ἂν φαίην ἡμῖν ἀποδεδεῖχθαι. Τὸ δὲ παραιτητοὺς αὖ τοὺς θεοὺς εἶναι τοῖσιν ἀδικοῦσι δεχομένους δῶρα, οὔτε τινὶ ξυγχωρητέον, παντί τ᾽ αὖ κατὰ δύναμιν τρόπῳ ἐλεγκτέον.

Φέρε δὴ πρὸς θεῶν αὐτῶν, τίνα τρόπον παραιτητοὶ γίγνοιντ᾽ ἂν ἡμῖν, εἰ γίγνοιντο αὖ; καὶ τίνες, ἢ ποῖοί τινες ὄντες; Ἄρχοντας μὲν ἀναγκαῖόν που γίγνεσθαι τούς γε διοικήσοντας τὸν ἅπαντα ἐντελεχῶς οὐρανόν. Ἀλλ᾽ ἆρα τίσι προσφερεῖς τῶν ἀρχόντων, ἢ τίνες τούτοις, ὧν δυνατὸν ἡμῖν ἀπεικάζουσι τυγχάνειν μείζοσιν ἐλάττονας; Πότερον ἡνίοχοί τινες ἂν εἶεν τοιοῦτοι ζευγῶν

ἁμιλλωμένων, ἢ πλοίων κυβερνῆται; τάχα δὲ κἂν ἀπεικασθεῖεν στρατοπέδων ἄρχουσί τισιν· εἴη δ' ἂν καὶ νόσων πόλεμον εὐλαβουμένοις ἰατροῖς ἐοικέναι περὶ σώματα, ἢ γεωργοῖς περὶ φυτῶν γένεσιν εἰωθυίας ὥρας χαλεπὰς διὰ φόβου προσδεχομένοις, ἢ καὶ ποιμνίων ἐπιστάταις. Ἐπειδὴ γὰρ ξυγκεχωρήκαμεν ἡμῖν αὐτοῖς εἶναι μὲν τὸν οὐρανὸν πολλῶν μεστὸν ἀγαθῶν, εἶναι δὲ καὶ τῶν ἐναντίων, πλειόνων δὲ τῶν μή· μάχη δή, φαμὲν, ἀθάνατός ἐστιν ἡ τοιαύτη καὶ φυλακῆς θαυμαστῆς δεομένη.

Ξύμμαχοι δὲ ἡμῖν θεοί τε ἅμα καὶ δαίμονες· ἡμεῖς δ' αὖ κτήματα θεῶν καὶ δαιμόνων. Φθείρει δὲ ἡμᾶς ἀδικία καὶ ὕβρις μετὰ ἀφροσύνης· σώζει δὲ δικαιοσύνη καὶ σωφροσύνη μετὰ φρονήσεως, ἐν ταῖς τῶν θεῶν ἐμψύχοις οἰκοῦσαι δυνάμεσι· βραχὺ δέ τι καὶ τῇδε ἄν τις τῶν τοιούτων ἐνοικοῦν ἡμῖν σαφὲς ἴδοι.

Ψυχαὶ δή τινες ἐπὶ γῆς οἰκοῦσαι, καὶ ἄδικον λῆμμα κεκτημέναι, δῆλον ὅτι θηριώδεις πρὸς τὰς τῶν φυλάκων ψυχὰς ἄρα κυνῶν, ἢ τὰς τῶν νομέων, ἢ πρὸς τὰς τῶν παντάπασιν ἀκροτάτων δεσποτῶν προσπίπτουσι, πείθουσαι θωπείαις λόγων, καὶ ἐν εὐκταίαις τισὶν ἐπῳδαῖς, ὡς αἱ φῆμαι φασὶν αἱ τῶν κακῶν, ἐξεῖναι πλεονεκτοῦσι σφίσιν ἐν ἀνθρώποις πάσχειν μηδὲν χαλεπόν. Φαμὲν δ' εἶναί που τὸ νῦν ὀνομαζόμενον ἁμάρτημα τὴν πλεονεξίαν ἐν μὲν σαρκίνοις σώμασι νόσημα καλούμενον· ἐν δὲ ὥραις ἐτῶν καὶ ἐνιαυτῶν, λοιμόν· ἐν δὲ πόλεσι καὶ πολιτείαις, τοῦτο αὖ τὸ ῥῆμα μετεσχηματισμένον, ἀδικίαν.

Τοῦτον δὴ τὸν λόγον ἀναγκαῖον λέγειν τὸν λέγοντα, ὡς εἰσὶ ξυγνώμονες ἀεὶ θεοὶ τοῖς τῶν ἀνθρώπων ἀδίκοις καὶ ἀδικοῦσιν, ἂν αὐτοῖς τῶν ἀδικημάτων τὶς ἀπονέμῃ· καθάπερ κυσὶ λύκοι τῶν ἁρπασμάτων σμικρὰ ἀπονέμοιεν, οἱ δὲ, ἡμερούμενοι τοῖς δώροις, ξυγχωροῖεν τὰ ποίμνια διαρπάζειν· ἆρ' οὐχ οὗτος ὁ λόγος ὁ τῶν φασκόντων παραιτητοὺς εἶναι θεούς;

Τίσιν οὖν δὴ τῶν προῤῥηθέντων ἀπεικάζων ὁμοίους

φύλακας εἶναι θεοὺς, οὐκ ἂν καταγέλαστος γίγνοιτο ἀνθρώπων ὁστισοῦν; πότερον κυβερνήταις, λοιβῇ γε οἴνου κνίσσῃ τε παρατρεπομένοις αὐτοῖς, ἀνατρέπουσι δὲ ναῦς τε καὶ ναύτας; ἀλλ' οὔτι μὴν ἡνιόχοισί γε ἐν ἁμίλλῃ ξυντεταγμένοις, πεισθεῖσιν ὑπὸ δωρεᾶς ἑτέροισι τὴν νίκην ζεύγεσι προδοῦναι; οὐ μὴν οὐδὲ στρατηγοῖς γε, οὐδ' ἰατροῖς, οὐδὲ γεωργοῖς, οὐδὲ νομεῦσι μὴν, οὐδέ τισι κυσὶ κεκηλημένοις ὑπὸ λύκων; Εὐφήμει· πῶς γὰρ ἄν; Ἀλλ' οὐ πάντων φυλάκων εἰσὶ μέγιστοι καὶ περὶ τὰ μέγιστα ἡμῖν οἱ πάντες θεοί; Τοὺς δὴ κάλλιστά τε πράγματα φυλάττοντας, διαφέροντάς τε αὐτοὺς φυλακῇ πρὸς ἀρετὴν, κυνῶν χείρους καὶ ἀνθρώπων μέσων εἶναι φήσομεν, οἳ τὸ δίκαιον οὐκ ἄν ποτε προδοῖεν ἕνεκα δώρων παρὰ ἀδίκων ἀνδρῶν ἀνοσίως δεδομένων; Οὐδαμῶς, οὔτε ἀνεκτὸς ὁ λόγος· τῶν τε περὶ πᾶσαν ἀσέβειαν ὄντων, κινδυνεύει πως ὁ ταύτης τῆς δόξης ἀντεχόμενος πάντων ἂν τῶν ἀσεβῶν κεκρίσθαι δικαιότατα κάκιστός τε εἶναι καὶ ἀσεβέστατος.

Τὰ μὲν δὴ προτεθέντα τρία, θεοί τε ὡς εἰσὶ, καὶ ὡς ἐπιμελεῖς, καὶ παρὰ τὸ δίκαιον ὡς παντάπασιν ἀπαραίτητοι, φῶμεν ἱκανῶς ἀποδεδεῖχθαί που.

De legibus, x.

HER ARMENIUS, EX INFERIS ET COELO REDUX.

Ἀπόλογον ἐρῶ ἀλκίμου ἀνδρὸς, Ἡρὸς τοῦ Ἀρμενίου, τὸ γένος Παμφύλου, ὅς ποτε ἐν πολέμῳ τελευτήσας, ἀναιρεθέντων δεκαταίων τῶν νεκρῶν ἤδη διεφθαρμένων, ὑγιὴς μὲν ἀνῃρέθη· κομισθεὶς δὲ οἴκαδε, μέλλων θάπτε-

σθαι, δωδεκαταῖος ἐπὶ τῇ πυρᾷ κείμενος ἀνεβίω. Ἀναβιοὺς δ' ἔλεγεν, ἃ ἐκεῖ ἴδοι.

Ἔφη δὲ, ἐπειδὴ οὗ ἐκβῆναι τὴν ψυχὴν, πορεύεσθαι μετὰ πολλῶν, καὶ ἀφικνεῖσθαι σφᾶς εἰς τόπον τινὰ δαιμόνιον, ἐν ᾧ τῆς τε γῆς δύο εἶναι χάσματα ἐχομένω ἀλλήλοιν, καὶ τοῦ οὐρανοῦ αὖ ἐν τῷ ἄνω ἄλλα καταντικρύ. Δικαστὰς δὲ μεταξὺ τούτων καθῆσθαι, οὓς, ἐπειδὴ διαδικάσειαν, τοὺς μὲν δικαίους κελεύειν πορεύεσθαι τὴν εἰς δεξίαν τε καὶ ἄνω διὰ τοῦ οὐρανοῦ, σημεῖα περιάψαντας τῶν δεδικασμένων ἐν τῷ πρόσθεν· τοὺς δὲ ἀδίκους, τὴν εἰς ἀριστεράν τε καὶ κάτω, ἔχοντας καὶ τούτους ἐν τῷ ὄπισθεν σημεῖα πάντων ὧν ἔπραξαν.

Ἑαυτοῦ δὲ προσελθόντος, εἰπεῖν, ὅτι δέοι αὐτὸν ἄγγελον ἀνθρώποις γενέσθαι τῶν ἐκεῖ, καὶ διακελεύοιντό οἱ ἀκούειν τε καὶ θεᾶσθαι πάντα τὰ ἐν τῷ τόπῳ.

Ὁρᾷν δὴ ταύτῃ μὲν καθ' ἑκάτερον τὸ χάσμα τοῦ οὐρανοῦ τε καὶ τῆς γῆς ἀπιούσας τὰς ψυχὰς, ἐπειδὴ αὐτοῦ δικασθεῖεν· κατὰ δὲ τὸ ἕτερον ἐκ μὲν τοῦ ἀνιέναι ἐκ τῆς γῆς μεστὰς αὐχμοῦ τε καὶ κόνεως, ἐκ δὲ τοῦ ἑτέρου καταβαίνειν ἑτέρας ἐκ τοῦ οὐρανοῦ καθαράς. Καὶ τὰς ἀεὶ ἀφικνουμένας ὥσπερ ἐκ πολλῆς πορείας φαίνεσθαι ἥκειν, καὶ ἀσμένως εἰς τὸν λειμῶνα ἀπιούσας, οἷον ἐν πανήγυρει κατασκηνᾶσθαι, καὶ ἀσπάζεσθαί τε ἀλλήλας, ὅσαι γνώριμαι, καὶ πυνθάνεσθαι τάς τε ἐκ τῆς γῆς ἡκούσας παρὰ τῶν ἑτέρων τὰ ἐκεῖ, καὶ τὰς ἐκ τοῦ οὐρανοῦ τὰ παρ' ἐκείναις. Διηγεῖσθαι δὲ ἀλλήλαις, τὰς μὲν ὀδυρομένας τε καὶ κλαούσας, ἀναμιμνησκομένας ὅσα τε καὶ οἷα πάθοιεν καὶ ἴδοιεν ἐν τῇ ὑπὸ γῆς πορείᾳ· εἶναι δὲ τὴν πορείαν χιλιετῆ· τὰς δ' αὖ ἐκ τοῦ οὐρανοῦ εὐπαθείας διηγεῖσθαι, καὶ θέας ἀμηχάνους τὸ κάλλος.

Τὰ μὲν οὖν πολλὰ, πολλοῦ χρόνου διηγήσασθαι· τὸ δ' οὖν κεφάλαιον ἔφη τόδε εἶναι· ὅσα πώποτέ τινα ἠδίκησαν, καὶ ὅσους ἕκαστοι, ὑπὲρ ἁπάντων δίκην δεδωκέναι ἐν μέρει, ὑπὲρ ἑκάστου δεκάκις· τοῦτο δ' εἶναι κατὰ ἑκα-

τονταετηρίδα ἑκάστην, ὡς βίου ὄντος τοσούτου τοῦ ἀνθρωπίνου, ἵνα δεκαπλάσιον τὸ ἔκτισμα τοῦ ἀδικήματος ἐκτίνοιεν· καὶ οἷον εἴ τινες πολλῶν θανάτων ἦσαν αἴτιοι, ἢ πόλεις προδόντες, ἢ στρατόπεδα, καὶ εἰς δουλείας ἐμβεβληκότες, ἤ τινος ἄλλης κακουχίας μεταίτιοι, πάντων τούτων δεκαπλασίας ἀλγηδόνας ὑπὲρ ἑκάστου κομίσαιντο. Καὶ αὖ εἴ τινας εὐεργεσίας εὐηργετηκότες, καὶ δίκαιοι, καὶ ὅσιοι γεγονότες εἶεν, κατὰ ταυτὰ τὴν ἀξίαν κομίζοιντο.

Τῶν δὲ εὐθὺς γενομένων καὶ ὀλίγον χρόνον βιούντων πέρι, ἄλλα ἔλεγεν οὐκ ἄξια μνήμης. Εἰς δὲ θεοὺς ἀσεβείας τε καὶ εὐσεβείας καὶ γονέας, καὶ αὐτόχειρος φόνου, μείζους ἔτι τοὺς μισθοὺς διηγεῖτο.

Ἔφη γὰρ δὴ παραγενέσθαι ἐρωτωμένῳ ἑτέρῳ ὑπὸ ἑτέρου, ὅπου ἂν εἴη Ἀριδαῖος ὁ μέγας. Ὁ δὲ Ἀριδαῖος οὗτος τῆς Παμφυλίας ἔν τινι πόλει τύραννος ἐγεγόνει, ἤδη χιλιοστὸν ἔτος εἰς ἐκεῖνον τὸν χρόνον· γέροντά τε πατέρα ἀποκτείνας, καὶ πρεσβύτερον ἀδελφὸν, καὶ ἄλλα δὴ πολλά τε καὶ ἀνόσια εἰργασμένος, ὡς ἐλέγετο. Ἔφη οὖν τὸν ἐρωτώμενον εἰπεῖν· Οὐχ ἥκει, φάναι, οὐδ᾽ ἂν ἥξοι δεῦρο. Ἐθεασάμεθα γὰρ οὖν δὴ καὶ τοῦτο τῶν δεινῶν θεαμάτων. Ἐπειδὴ ἐγγὺς τοῦ στομίου ἦμεν μέλλοντες ἀνιέναι, καὶ τἆλλα πάντα πεπονθότες, ἐκεῖνόν τε κατείδομεν ἐξαίφνης καὶ ἄλλους, σχεδόν τι αὐτῶν τοὺς πλείστους τυράννους· ἦσαν δὲ καὶ ἰδιῶταί τινες τῶν μεγάλα ἡμαρτηκότων. Οὓς οἰομένους ἤδη ἀναβήσεσθαι, οὐκ ἐδέχετο τὸ στόμιον, ἀλλ᾽ ἐμυκᾶτο, ὁπότε τὶς τῶν οὕτως ἀνιάτως ἐχόντων εἰς πονηρίαν, ἢ μὴ ἱκανῶς δεδωκὼς δίκην, ἐπιχειροῖ ἀνιέναι. Ἐνταῦθα δὴ ἄνδρες, ἔφη, ἄγριοι καὶ διάπυροι ἰδεῖν, παρεστῶτες καὶ καταμανθάνοντες τὸ φθέγμα, τοὺς μὲν ἰδίᾳ λαβόντες ἦγον, τὸν δὲ Ἀριδαῖον καὶ ἄλλους ξυμποδίσαντες χεῖράς τε καὶ πόδας καὶ κεφαλὴν, καταβαλόντες καὶ ἐκδείραντες, εἷλκον παρὰ τὴν ὁδὸν ἐκτὸς ἐπ᾽ ἀσπαλάθων κνάμπτοντες, καὶ τοῖς ἀεὶ παριοῦσι σημαίνοντες, ὧν ἕνεκά τε ταῦτα ὑπομένοιεν, καὶ ὅτι εἰς τὸν Τάρταρον

ἐμπεσούμενοι ἄγοιντο. Ἔνθα δὴ φόβων ἔφη πολλῶν καὶ παντοδαπῶν σφίσι γεγονότων τοῦτον ὑπερβάλλειν τὸν φόβον, εἰ μυκήσαιτο τὸ στόμιον, καὶ ἀσμενέστατα ἕκαστον σιγήσαντος ἀναβῆναι.

Καὶ τὰς μὲν δὴ δίκας τε καὶ τιμωρίας τοιαύτας τινὰς εἶναι, καὶ αὖ τὰς εὐεργεσίας ταύταις ἀντιστρόφους.

Ἐπειδὴ δὲ τοῖς ἐν τῷ λειμῶνι ἑκάστοις ἑπτὰ ἡμέραι γένοιντο, ἀναστάντας ἐντεῦθεν δεῖν τῇ ὀγδόῃ πορεύεσθαι, καὶ ἀφικνεῖσθαι τεταρταίους, ὅθεν καθορᾶν ἄνωθεν διὰ παντὸς τοῦ οὐρανοῦ καὶ γῆς τεταμένον φῶς εὐθὺ, οἷον κίονα, μάλιστα τῇ Ἴριδι προσφερὲς, λαμπρότερον δὲ καὶ καθαρώτερον· εἰς ὃ ἀφικέσθαι προελθόντας ἡμερησίαν ὁδὸν, καὶ ἰδεῖν αὐτόθι κατὰ μέσον τὸ φῶς ἐκ τοῦ οὐρανοῦ τὰ ἄκρα τῶν δεσμῶν αὐτοῦ τεταμένα. Εἶναι γὰρ τοῦτο τὸ φῶς ξύνδεσμον τοῦ οὐρανοῦ, οἷον τὰ ὑποζώματα τῶν τριήρων, οὕτω πᾶσαν ξυνέχον τὴν περιφοράν.

Ἐκ δὲ τῶν ἄκρων τεταμένον Ἀνάγκης ἄτρακτον, δι᾽ οὗ πάσας ἐπιστρέφεσθαι τὰς περιφοράς· οὗ τὴν μὲν ἠλακάτην τε καὶ τὸ ἄγκιστρον εἶναι ἐξ ἀδάμαντος, τὸν δὲ σφόνδυλον, μικτὸν ἔκ τε τούτου καὶ ἄλλων γενῶν. Τὴν δὲ τοῦ σφονδύλου φύσιν εἶναι τοιάνδε, τὸ μὲν σχῆμα, οἵαπερ ἡ τῶν ἐνθάδε· νοῆσαι δὲ δεῖ, ἐξ ὧν ἔλεγε, τοιόνδε αὐτὸν εἶναι, ὥσπερ ἂν εἰ ἐν ἑνὶ μεγάλῳ σφονδύλῳ κοίλῳ καὶ ἐξεγλυμμένῳ διαμπερὲς ἄλλος τοιοῦτος ἐλάττων ἐγκέοιτο ἁρμόττων, καθάπερ οἱ κάδδοι οἱ εἰς ἀλλήλους ἁρμόττοντες· καὶ οὕτω δὴ τρίτον ἄλλον καὶ τέταρτον, καὶ ἄλλους τέτταρας· ὀκτὼ γὰρ εἶναι τοὺς ξύμπαντας σφονδύλους, ἐν ἀλλήλοις ἐγκειμένους κύκλους, ἄνωθεν τὰ χείλη φαίνοντας, νῶτον ξυνεχὲς ἑνὸς σφονδύλου ἀπεργαζομένους περὶ τὴν ἠλακάτην· ἐκείνην δὲ διὰ μέσου τοῦ ὀγδόου διαμπερὲς ἐληλάσθαι.

Τὸν μὲν οὖν πρῶτόν τε καὶ ἐξωτάτω σφόνδυλον, πλατύτατον τὸν τοῦ χείλους κύκλον ἔχειν· τὸν δὲ τοῦ ἕκτου,

δεύτερον· τρίτον δὲ, τὸν τοῦ τετάρτου· τέταρτον δὲ, τὸν τοῦ ὀγδόου· πέμπτον δὲ, τὸν τοῦ ἑβδόμου· ἕκτον δὲ, τὸν τοῦ πέμπτου· ἕβδομον δὲ, τὸν τοῦ τρίτου· ὄγδοον δὲ, τὸν τοῦ δευτέρου. Καὶ τὸν μὲν τοῦ μεγίστου, ποικίλον· τὸν δὲ τοῦ ἑβδόμου, λαμπρότατον· τὸν δὲ τοῦ ὀγδόου τὸ χρῶμα ἀπὸ τοῦ ἑβδόμου ἔχειν προσλάμποντος· τὸν δὲ τοῦ δευτέρου καὶ πέμπτου, παραπλήσια ἀλλήλοις, ξανθότερα ἐκείνων· τρίτον δὲ, λευκότατον χρῶμα ἔχειν· τέταρτον δὲ, ὑπέρυθρον· δεύτερον δὲ, λευκότητι τὸν ἕκτον ὑπερβάλλειν. Κυκλεῖσθαι δὲ δεῖ στρεφόμενον τὸν ἄτρακτον ὅλον μὲν τὴν αὐτὴν φοράν· ἐν δὲ τῷ ὅλῳ περιφερομένῳ, τοὺς μὲν ἐντὸς ἑπτὰ κύκλους τὴν ἐναντίαν τῷ ὅλῳ ἠρέμα περιφέρεσθαι. Αὐτῶν δὲ τούτων τάχιστα μὲν ἰέναι τὸν ὄγδοον· δευτέρους δὲ καὶ ἅμα ἀλλήλοις τόν τε ἕβδομον καὶ ἕκτον καὶ πέμπτον· τὸν τρίτον δὲ φορᾷ ἰέναι, ὥς σφισι φαίνεσθαι, ἐπανακυκλούμενον τὸν τέταρτον· τέταρτον δὲ, τὸν τρίτον· καὶ πέμπτον, τὸν δεύτερον.

Στρέφεσθαι δὲ αὐτὸν ἐν τοῖς τῆς Ἀνάγκης γόνασιν. Ἐπὶ δὲ τῶν κύκλων αὐτοῦ ἄνωθεν ἐφ᾽ ἑκάστου βεβηκέναι Σειρῆνα ξυμπεριφερομένην, φωνὴν μίαν ἱεῖσαν ἀνάτονον· ἐκ πασῶν δὲ ὀκτὼ οὐσῶν μίαν ἁρμονίαν ξυμφωνεῖν. Ἄλλας δὲ καθημένας πέριξ δι᾽ ἴσου τρεῖς, ἐν θρόνῳ ἑκάστην, θυγατέρας τῆς Ἀνάγκης Μοίρας, λευχειμονούσας, στέμματα ἐπὶ τῶν κεφαλῶν ἐχούσας, Λάχεσίν τε καὶ Κλωθὼ καὶ Ἄτροπον, ὑμνεῖν πρὸς τὴν τῶν Σειρήνων ἁρμονίαν, Λάχεσιν μὲν τὰ γεγονότα, Κλωθὼ δὲ τὰ ὄντα, Ἄτροπον δὲ τὰ μέλλοντα. Καὶ τὴν μὲν Κλωθὼ, τῇ δεξιᾷ χειρὶ ἐφαπτομένην, ξυνεπιστρέφειν τοῦ ἀτράκτου τὴν ἔξω περιφορὰν, διαλείπουσαν χρόνον· τὴν δὲ Ἄτροπον τῇ ἀριστερᾷ τὰς ἐντὸς αὖ ὡσαύτως· τὴν δὲ Λάχεσιν ἐν μέρει ἑκατέρας ἑκατέρᾳ τῇ χειρὶ ἐφάπτεσθαι.

Σφᾶς οὖν, ἐπειδὴ ἀφικέσθαι, εὐθὺς δεῖν ἰέναι πρὸς τὴν Λάχεσιν· προφήτην οὖν τινὰ σφᾶς πρῶτον μὲν ἐν τάξει διαστῆσαι· ἔπειτα λαβόντα ἐκ τῶν τῆς Λαχέσεως γονά-

των κλήρους τε καὶ βίων παραδείγματα, ἀναβάντα ἐπί τι βῆμα ὑψηλὸν, εἰπεῖν· Ἀνάγκης θυγατρὸς κόρης Λαχέσεως λόγος. Ψυχαὶ ἐφήμεροι, ἀρχὴ ἄλλης περιόδου θνητοῦ γένους θανατηφόρου, οὐχ ὑμᾶς δαίμων λήξεται, ἀλλ' ὑμεῖς δαίμονα αἱρήσεσθε. Πρῶτος δ' ὁ λαχὼν, πρῶτος αἱρείσθω βίον, ᾧ ξυνέσται ἐξ ἀνάγκης. Ἀρετὴ δὲ ἀδέσποτον, ἣν τιμῶν καὶ ἀτιμάζων πλέον καὶ ἔλαττον αὐτῆς ἕκαστος ἕξει. Αἰτία ἑλομένου, θεὸς ἀναίτιος. Ταῦτα εἰπόντα, ῥίψαι ἐπὶ πάντας τοὺς κλήρους· τὸν δὲ παρ' αὐτὸν πεσόντα ἕκαστον ἀναιρεῖσθαι, πλὴν οὗ· ἓ δὲ οὐκ ἐᾷν· τῷ δὲ ἀνελομένῳ δῆλον εἶναι, ὁπόστος εἰλήφει.

Μετὰ δὲ τοῦτο αὖθις τὰ τῶν βίων παραδείγματα εἰς τὸ πρόσθεν σφῶν θεῖναι ἐπὶ τὴν γῆν, πολὺ πλείω τῶν παρόντων. Εἶναι δὲ παντοδαπά· ζώων τε γὰρ πάντων βίους, καὶ δὴ καὶ τοὺς ἀνθρωπίνους ἅπαντας. Τυραννίδας τε γὰρ ἐν αὐτοῖς εἶναι τὰς μὲν διατελεῖς, τὰς δὲ καὶ μεταξὺ διαφθειρομένας, καὶ εἰς πενίας τε καὶ φυγὰς καὶ εἰς πτωχείας τελευτώσας. Εἶναι δὲ καὶ δοκίμων ἀνδρῶν βίους, τοὺς μὲν ἐπὶ εἴδεσι, καὶ κατὰ κάλλη, καὶ τὴν ἄλλην ἰσχύν τε καὶ ἀγωνίαν· τοὺς δ' ἐπὶ γένεσι καὶ προγόνων ἀρεταῖς, καὶ εὐδοκίμων κατὰ ταῦτα. Ὡσαύτως δὲ καὶ γυναικῶν· ψυχῆς δὲ τάξιν οὐκ ἐνεῖναι, διὰ τὸ ἀναγκαίως ἔχειν, ἄλλον ἑλομένην βίον, ἀλλοίαν γίγνεσθαι. Τὰ δ' ἄλλα ἀλλήλοις τε καὶ πλούτοις καὶ πενίαις, τὰ δὲ νόσοις, τὰ δὲ ὑγιείαις μεμίχθαι, τὰ δὲ καὶ μέσον τούτων.

Ἔνθα δὴ, ὡς ἔοικεν, ὁ πᾶς κίνδυνος ἀνθρώπῳ· καὶ διὰ ταῦτα μάλιστα ἐπιμελητέον, ὅπως ἕκαστος ἡμῶν, τῶν ἄλλων μαθημάτων ἀμελήσας, τούτου τοῦ μαθήματος καὶ ζητητὴς καὶ μαθητὴς ἔσται· ἐάν ποθεν οἷός τ' ᾖ μαθεῖν καὶ ἐξευρεῖν, τίς αὐτὸν ποιήσει δυνατὸν καὶ ἐπιστήμονα, βίον καὶ χρηστὸν καὶ πονηρὸν διαγιγνώσκοντα, τὸν βελτίω ἐκ τῶν δυνατῶν ἀεὶ πανταχοῦ αἱρεῖσθαι·

ἀναλογιζόμενον πάντα τὰ νῦν δὴ ῥηθέντα καὶ ξυντιθέμενα ἀλλήλοις καὶ διαιρούμενα πρὸς ἀρετὴν βίου πῶς ἔχει· καὶ εἰδέναι, τί κάλλος πενίᾳ ἢ πλούτῳ κραθὲν, καὶ μετὰ ποίας τινὸς ψυχῆς ἕξεως, κακὸν ἢ ἀγαθὸν ἐργάζεται, καὶ τί εὐγένειαι καὶ δυσγένειαι, καὶ ἰδιωτεῖαι καὶ ἀρχαὶ, καὶ ἰσχύες καὶ ἀσθένειαι, καὶ εὐμαθίαι καὶ δυσμαθίαι, καὶ πάντα τὰ τοιαῦτα τῶν φύσει περὶ ψυχὴν ὄντων καὶ τῶν ἐπικτήτων, τί ξυγκεραννύμενα πρὸς ἄλληλα ἐργάζεται. Ὥστε ἐξ ἁπάντων αὐτῶν δυνατὸν εἶναι ξυλλογισάμενον αἱρεῖσθαι, πρὸς τὴν τῆς ψυχῆς φύσιν ἀποβλέποντα, τόν τε χείρω καὶ τὸν ἀμείνω βίον, χείρω μὲν καλοῦντα, ὃς αὐτὴν ἐκεῖσε ἄξει εἰς τὸ ἀδικωτέραν γίγνεσθαι, ἀμείνω δὲ, ὅστις εἰς τὸ δικαιοτέραν· τὰ δὲ ἄλλα πάντα χαίρειν ἐᾷν. Ἑωράκαμεν γὰρ, ὅτι ζῶντί τε καὶ τελευτήσαντι αὕτη κρατίστη αἵρεσις. Ἀδαμαντίνως δεῖ δὴ ταύτην τὴν δόξαν ἔχοντα εἰς ᾅδου ἰέναι, ὅπως ἂν ᾖ καὶ ἐκεῖ ἀνέκπληκτος ὑπὸ πλούτων τε καὶ τῶν τοιούτων κακῶν, καὶ μὴ ἐμπεσὼν εἰς τυραννίδας καὶ ἄλλας τοιαύτας πράξεις, πολλὰ μὲν ἐργάσηται καὶ ἀνήκεστα κακὰ, ἔτι δὲ αὐτὸς μείζω πάθῃ· ἀλλὰ γνῷ τὸν μέσον ἀεὶ τῶν τοιούτων βίον αἱρεῖσθαι, καὶ φεύγειν τὰ ὑπερβάλλοντα ἑκατέρωσε, καὶ ἐν τῷδε τῷ βίῳ κατὰ τὸ δυνατὸν, καὶ ἐν παντὶ τῷ ἔπειτα· οὕτω γὰρ εὐδαιμονέστατος γίγνεται ἄνθρωπος.

Καὶ δὴ οὖν καὶ τότε ὁ ἐκεῖθεν ἄγγελος ἤγγελλε, τὸν μὲν προφήτην οὕτως εἰπεῖν· Καὶ τελευταίῳ ἐπιόντι, ξὺν νῷ ἑλομένῳ, ξυντόνως ζῶντι, κεῖται βίος ἀγαπητὸς, οὐ κακός· μήτε ὁ ἄρχων αἱρέσεως ἀμελείτω, μήτε ὁ τελευτῶν ἀθυμείτω.

Εἰπόντος δὲ ταῦτα, τὸν πρῶτον λαχόντα ἔφη εὐθὺς ἐπιόντα τὴν μεγίστην τυραννίδα ἑλέσθαι, καὶ ὑπὸ ἀφροσύνης τε καὶ λαιμαργίας οὐ πάντα ἱκανῶς ἀνασκεψάμενον ἑλέσθαι, ἀλλ' αὐτὸν λαθεῖν ἐνοῦσαν εἱμαρμένην, παίδων αὐτοῦ βρώσεις καὶ ἄλλα κακά. Ἐπειδὴ δὲ κατὰ

σχολὴν σκέψασθαι, κόπτεσθαί τε καὶ ὀδύρεσθαι τὴν αἵρεσιν, οὐκ ἐμμένοντα τοῖς προῤῥηθεῖσιν ὑπὸ τοῦ προφήτου· οὐ γὰρ ἑαυτὸν αἰτιᾶσθαι τῶν κακῶν, ἀλλὰ τύχην τε, καὶ δαίμονας, καὶ πάντα μᾶλλον ἀνθ' ἑαυτοῦ. Εἶναι δὲ αὐτὸν τῶν ἐκ τοῦ οὐρανοῦ ἡκόντων, ἐν τεταγμένῃ πολιτείᾳ ἐν τῷ προτέρῳ βίῳ βεβιωκότα, ἔθει, ἄνευ φιλοσοφίας, ἀρετῆς μετειληφότα. Ὡς δὲ καὶ εἰπεῖν, οὐκ ἐλάττους εἶναι ἐν τοῖς τοιούτοις ἁλισκομένους τοὺς ἐκ τοῦ οὐρανοῦ ἥκοντας, ἅτε πόνων ἀγυμνάστους· τῶν δ' ἐκ τῆς γῆς τοὺς πολλοὺς, ἅτε αὐτούς τε πεπονηκότας, ἄλλους τε ἑωρακότας, οὐκ ἐξ ἐπιδρομῆς τὰς αἱρέσεις ποιεῖσθαι. Διὸ δὴ καὶ μεταβολὴν τῶν κακῶν καὶ τῶν ἀγαθῶν ταῖς πολλαῖς τῶν ψυχῶν γίγνεσθαι, καὶ διὰ τὴν τοῦ κλήρου τύχην. Ἐπεὶ, εἴ τις ἀεὶ, ὁπότε εἰς τὸν ἐνθάδε βίον ἀφικνοῖτο, ὑγιῶς φιλοσοφοῖ, καὶ ὁ κλῆρος αὐτῷ τῆς αἱρέσεως μὴ τελευταῖος πίπτοι, κινδυνεύει, ἐκ τῶν ἐκεῖθεν ἀπαγγελλομένων, οὐ μόνον ἐνθάδε εὐδαιμονεῖν ἂν, ἀλλὰ καὶ τὴν ἐνθένδε ἐκεῖσε καὶ δεῦρο πάλιν πορείαν οὐκ ἂν χθονίαν καὶ τραχεῖαν πορεύεσθαι, ἀλλὰ λείαν τε καὶ οὐρανίαν.

Ταύτην γὰρ δὴ ἔφη τὴν θέαν ἀξίαν εἶναι ἰδεῖν, ὡς ἕκασται αἱ ψυχαὶ ᾑροῦντο τοὺς βίους· ἐλεεινήν τε γὰρ ἰδεῖν εἶναι καὶ γελοίαν καὶ θαυμασίαν· κατὰ ξυνήθειαν γὰρ τοῦ προτέρου βίου τὰ πολλὰ αἱρεῖσθαι. Ἰδεῖν μὲν γὰρ ψυχὴν ἔφη τὴν ποτὲ Ὀρφέως γενομένην, κύκνου βίον αἱρουμένην μίσει τοῦ γυναικείου γένους, διὰ τὸν ὑπ' ἐκείνων θάνατον οὐκ ἐθέλουσαν ἐν γυναικὶ γεννηθεῖσαν γενέσθαι· ἰδεῖν δὲ τὴν Θαμύρου, ἀηδόνος ἑλομένην· ἰδεῖν δὲ καὶ κύκνον μεταβάλλοντα εἰς ἀνθρωπίνου βίου αἵρεσιν, καὶ ἄλλα ζῶα μουσικὰ ὡσαύτως, ὡς τὸ εἰκός. Τὴν δὲ λαχοῦσαν ψυχὴν ἑλέσθαι λέοντος βίον· εἶναι δὲ τὴν Αἴαντος τοῦ Τελαμωνίου, φεύγουσαν ἄνθρωπον γενέσθαι, μεμνημένην τῆς τῶν ὅπλων κρίσεως. Τὴν δ' ἐπὶ τούτῳ Ἀγαμέμνονος, ἔχθρᾳ δὲ καὶ ταύτην τοῦ ἀνθρωπίνου γένους διὰ τὰ πάθη, ἀετοῦ διαλλάξαι

βίον. Ἐν μέσοις δὲ λαχοῦσαν τὴν Ἀταλάντης ψυχὴν, κατιδοῦσαν μεγάλας τιμὰς ἀθλητοῦ ἀνδρὸς, οὐ δύνασθαι παρελθεῖν, ἀλλὰ λαβεῖν. Μετὰ δὲ ταύτην ἰδεῖν τὴν Ἐπειοῦ τοῦ Πανοπέως εἰς τεχνικῆς γυναικὸς ἰοῦσαν φύσιν. Πόῤῥω δ' ἐν ὑστάτοις ἰδεῖν τὴν τοῦ γελωτοποιοῦ Θερσίτου, πίθηκον ἐνδυομένην. Κατὰ τύχην δὲ τὴν Ὀδυσσέως λαχοῦσαν πασῶν ὑστάτην, αἱρησομένην ἰέναι· μνήμῃ δὲ τῶν προτέρων πόνων, φιλοτιμίας λελωφηκυῖαν, ζητεῖν περιϊοῦσαν χρόνον πολὺν βίον ἀνδρὸς ἰδιώτου ἀπράγμονος, καὶ μόγις εὑρεῖν κείμενόν που καὶ παρημελημένον ὑπὸ τῶν ἄλλων· καὶ εἰπεῖν ἰδοῦσαν, ὅτι τὰ αὐτὰ ἂν ἔπραξε καὶ πρώτη λαχοῦσα, καὶ ἀσμένην ἑλέσθαι. Καὶ ἐκ τῶν ἄλλων δὴ θηρίων ὡσαύτως εἰς ἀνθρώπους ἰέναι, καὶ εἰς ἄλληλα, τὰ μὲν ἄδικα εἰς τὰ ἄγρια, τὰ δὲ δίκαια εἰς τὰ ἥμερα μεταβάλλοντα· καὶ πάσας μίξεις μίγνυσθαι.

Ἐπειδὴ δ' οὖν πάσας τὰς ψυχὰς τοὺς βίους ᾑρῆσθαι, ὥσπερ ἔλαχον, ἐν τάξει προσιέναι πρὸς τὴν Λάχεσιν. Ἐκείνην δ' ἑκάστῳ, ὃν εἵλετο δαίμονα, τοῦτον φύλακα ξυμπέμπειν τοῦ βίου, καὶ ἀποπληρωτὴν τῶν αἱρεθέντων. Ὃν πρῶτον μὲν ἄγειν αὐτὴν πρὸς τὴν Κλωθὼ, ὑπὸ τὴν ἐκείνης χεῖρά τε καὶ ἐπιστροφὴν τῆς τοῦ ἀτράκτου δίνης κυροῦντα, ἣν λαχὼν εἵλετο μοῖραν. Ταύτης δ' ἐφαψάμενον, αὖθις ἐπὶ τὴν τῆς Ἀτρόπου ἄγειν νῆσιν, ἀμετάστροφα τὰ ἐπικλωθέντα ποιοῦντα. Ἐντεῦθεν δὲ δὴ ἀμεταστρεπτὶ ὑπὸ τὸν τῆς Ἀνάγκης ἰέναι θρόνον, καὶ δι' ἐκείνου διεξελθόντα, ἐπειδὴ καὶ οἱ ἄλλοι διῆλθον, πορεύεσθαι ἅπαντας εἰς τὸ τῆς Λήθης πεδίον διὰ καύματός τε καὶ πνίγους δεινοῦ· καὶ γὰρ εἶναι αὐτὸ κενὸν δένδρων τε καὶ ὅσα γῆ φύει. Σκηνᾶσθαι οὖν σφᾶς ἤδη ἑσπέρας γιγνομένης παρὰ τὸν Ἀμέλητα ποταμὸν, οὗ τὸ ὕδωρ ἀγγεῖον οὐδὲν στέγει. Μέτρον μὲν οὖν τὶ τοῦ ὕδατος πᾶσιν ἀναγκαῖον εἶναι πιεῖν· τοὺς δὲ φρονήσει μὴ σωζομένους, πλέον πίνειν τοῦ μέτρου· τὸν δὲ ἀεὶ πιόντα, πάντων ἐπιλανθάνεσθαι.

Ἐπειδὴ δὲ κοιμηθῆναι καὶ μέσας νύκτας γενέσθαι, βροντήν τε καὶ σεισμὸν γενέσθαι, καὶ ἐντεῦθεν ἐξαπίνης ἄλλον ἄλλῃ φέρεσθαι ἄνω, εἰς τὴν γένεσιν ᾄττοντας ὥσπερ ἀστέρας.

Αὐτὸς δὲ τοῦ μὲν ὕδατος κωλυθῆναι πιεῖν· ὅπῃ μέντοι καὶ ὅπως εἰς τὸ σῶμα ἀφίκοιτο, οὐδὲν εἰδέναι· ἀλλ' ἐξαίφνης ἀναβλέψας ἰδεῖν ἕωθεν αὐτὸν ἤδη κείμενον ἐπὶ τῇ πυρᾷ.

Καὶ οὗτος ὁ μῦθος ἐσώθη καὶ οὐκ ἀπώλετο· καὶ ἡμᾶς ἂν σώσειεν, ἂν πειθώμεθα αὐτῷ· καὶ τὸν τῆς Λήθης ποταμὸν εὖ διαβησόμεθα, καὶ τὴν ψυχὴν οὐ μιανθησόμεθα.

De Republica, x.

QUID BONIS ET MALIS FUTURUM.

Εὖ οἶδ' ὅτι, ἐάνπερ εἰσίω εἰς δικαστήριον περὶ τούτων τινὸς κινδυνεύων ὧν σὺ λέγεις, πονηρός τις μὲ ἔσται ὁ εἰσάγων· οὐδεὶς γὰρ ἂν χρηστὸς μὴ ἀδικοῦντ' ἄνθρωπον εἰσάγοι. Καὶ οὐδέν γε ἄτοπον εἰ ἀποθάνοιμι· βούλει σοὶ εἴπω διότι ταῦτα προσδοκῶ; Οἶμαι μετ' ὀλίγων Ἀθηναίων, ἵνα μὴ εἴπω μόνος, ἐπιχειρεῖν τῇ ὡς ἀληθῶς πολιτικῇ τέχνῃ, καὶ πράττειν τὰ πολιτικὰ μόνος τῶν νῦν· ἅτε οὖν οὐ πρὸς χάριν λέγων τοὺς λόγους οὓς λέγω ἑκάστοτε, ἀλλὰ πρὸς τὸ βέλτιστον, οὐ πρὸς τὸ ἥδιστον, καὶ οὐκ ἐθέλων ποιεῖν ἃ σὺ νῦν παραινεῖς, τὰ κομψὰ ταῦτα, οὐχ ἕξω ὅ τι λέγω ἐν τῷ δικαστηρίῳ.

Κρινοῦμαι γὰρ, ὡς ἐν παιδίοις ἰατρὸς ἂν κρίνοιτο, κατηγοροῦντος ὀψοποιοῦ. Σκόπει γὰρ, τί ἂν ἀπολογοῖτο ὁ τοιοῦτος ἄνθρωπος ἐν τούτοις ληφθεὶς, εἰ αὐτοῦ κατηγοροῖ τὶς λέγων, ὅτι· Ὦ παῖδες, πολλὰ ὑμᾶς καὶ κακὰ ὅδε εἴργασται ἀνὴρ καὶ αὐτοὺς, καὶ τοὺς νεωτάτους ὑμῶν

διαφθείρει· τέμνων τε, καὶ κάων, καὶ ἰσχναίνων, καὶ πνίγων, ἀπορεῖν ποιεῖ, πικρότατα πόματα διδοὺς, καὶ πεινῆν καὶ διψῆν ἀναγκάζων, οὐχ ὥσπερ ἐγὼ πολλὰ καὶ ἡδέα καὶ παντοδαπὰ εὐώχουν ὑμᾶς. Τί ἂν οἴει ἐν τούτῳ τῷ κακῷ ἀποληφθέντα ἰατρὸν ἔχειν εἰπεῖν; ἢ, εἰ εἴποι τὴν ἀλήθειαν, ὅτι ταῦτα πάντα ἐγὼ ἐποίουν, ὦ παῖδες, ὑγιεινῶς· ὁπόσον οἴει ἂν ἀναβοῆσαι τοὺς τοιούτους δικαστάς; Οὐ μέγα; Οὔκουν οἴει ἐν πάσῃ ἀπορίᾳ ἂν αὐτὸν ἔχεσθαι ὅ τι χρὴ εἰπεῖν; Πάνυ γε.

Τοιοῦτον μέντοι καὶ ἐγὼ οἶδα ὅτι πάθος πάθοιμι ἂν εἰσελθὼν εἰς δικαστήριον. Οὔτε γὰρ ἡδονὰς, ἃς ἐκπεπόρικα, ἕξω αὐτοῖς λέγειν· ἃς οὗτοι εὐεργεσίας καὶ ὠφελείας νομίζουσιν· ἐγὼ δὲ οὔτε τοὺς πορίζοντας ζηλῶ, οὔτε οἷς πορίζεται. Ἐάν τέ τις μὲ ἢ νεωτέρους φῇ διαφθείρειν, ἀπορεῖν ποιοῦντα, ἢ τοὺς πρεσβυτέρους κατηγορεῖν, λέγοντα πικροὺς λόγους ἢ ἰδίᾳ ἢ δημοσίᾳ, οὔτε τὸ ἀληθὲς ἕξω εἰπεῖν, ὅτι δικαίως πάντα ταῦτα ἐγὼ λέγω καὶ πράττω, τὸ ὑμέτερον δὴ τοῦτο, ὦ ἄνδρες δικασταὶ, οὔτε ἄλλο οὐδέν. Ὥστε ἴσως, ὅ τι ἂν τύχω, τοῦτο πείσομαι.

Δοκεῖ οὖν σοὶ, ὦ Σώκρατες, καλῶς ἔχειν ἄνθρωπος ἐν πόλει οὕτω διακείμενος, καὶ ἀδύνατος ὢν ἑαυτῷ βοηθεῖν; Εἰ ἐκεῖνό γε ἐν αὐτῷ ὑπάρχοι, ὦ Καλλίκλεις, ὃ σὺ πολλάκις ὡμολόγησας· εἰ βεβοηθηκὼς εἴη αὐτῷ, μήτε περὶ ἀνθρώπους, μήτε περὶ θεοὺς ἄδικον μηδὲν μήτε εἰρηκὼς μήτε εἰργασμένος. Αὕτη γάρ τις βοήθεια ἑαυτῷ πολλάκις ἡμῖν ὡμολόγηται κρατίστη εἶναι. Εἰ μὲν οὖν ἐμὲ τὶς ἐξελέγχοι ταύτην τὴν βοήθειαν ἀδύνατον ὄντα ἐμαυτῷ καὶ ἄλλῳ βοηθεῖν, αἰσχυνοίμην ἂν καὶ ἐν πολλοῖς καὶ ἐν ὀλίγοις ἐξελεγχόμενος, καὶ μόνος ὑπὸ μόνου· καὶ εἰ διὰ ταύτην τὴν ἀδυναμίαν ἀποθνήσκοιμι, ἀγανακτοίην ἄν. Εἰ δὲ κολακικῆς ῥητορικῆς ἐνδείᾳ τελευτῴην ἔγωγε, εὖ οἶδα ὅτι ῥᾳδίως ἴδοις ἂν μὲ φέροντα τὸν θάνατον· αὐτὸ μὲν γὰρ τὸ ἀποθνήσκειν οὐδεὶς φοβεῖται, ὅστις μὴ παντάπασιν ἄλογός τε καὶ ἄνανδρός ἐστι· τὸ δὲ ἀδικεῖν φο-

βεῖται. Πολλῶν γὰρ ἀδικημάτων γέμοντα τὴν ψυχὴν εἰς ᾅδου ἀφικέσθαι, πάντων ἔσχατον κακῶν ἐστίν. Εἰ δὲ βούλει, σοὶ ἐγὼ, ὡς τοῦτο οὕτως ἔχει, ἐθέλω λόγον λέξαι. Ἄκουε δὴ, φασὶ, μάλα καλοῦ λόγου, ὃν σὺ μὲν ἡγήσῃ μῦθον, ὡς ἐγὼ οἶμαι, ἐγὼ δὲ λόγον· ὡς ἀληθῆ γὰρ ὄντα σοὶ λέξω ἃ μέλλω λέγειν.

Ὥσπερ γὰρ Ὅμηρος λέγει, διενείμαντο τὴν ἀρχὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον. Ἦν οὖν νόμος ὅδε περὶ ἀνθρώπων ἐπὶ Κρόνου, καὶ ἀεὶ καὶ νῦν ἔτι ἐστὶν ἐν θεοῖς, τῶν ἀνθρώπων τὸν μὲν δικαίως τὸν βίον διελθόντα καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους ἀπιόντα, οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν· τὸν δὲ ἀδίκως καὶ ἀθέως, εἰς τὸ τῆς τίσεώς τε καὶ δίκης δεσμωτήριον, ὃ δὴ Τάρταρον καλοῦσιν, ἰέναι. Τούτων δὲ δικασταὶ ἐπὶ Κρόνου, καὶ ἔτι νεωστὶ τοῦ Διὸς τὴν ἀρχὴν ἔχοντος, ζῶντες ἦσαν ζώντων, ἐκείνῃ ἡμέρᾳ δικάζοντες, ᾗ μέλλοιεν τελευτᾷν. Κακῶς οὖν αἱ δίκαι ἐκρίνοντο· ὅ τε οὖν Πλούτων καὶ οἱ ἐπιμεληταὶ, ἐκ μακάρων νήσων ἰόντες, ἔλεγον πρὸς τὸν Δία, ὅτι φοιτῷεν σφὶν ἄνθρωποι ἑκατέρωσε ἀνάξιοι. Εἶπεν οὖν ὁ Ζεύς· Ἀλλ' ἐγὼ, ἔφη, παύσω τοῦτο γιγνόμενον. Νῦν μὲν γὰρ κακῶς αἱ δίκαι δικάζονται· ἀμπεχόμενοι γὰρ, ἔφη, οἱ κρινόμενοι κρίνονται· ζῶντες γὰρ κρίνονται. Πολλοὶ οὖν, ἦ δ' ὅς, ψυχὰς πονηρὰς ἔχοντες, ἠμφιεσμένοι εἰσὶ σώματά τε καλὰ, καὶ γένη, καὶ πλούτους· καὶ, ἐπειδὰν ἡ κρίσις ᾖ, ἔρχονται αὐτοῖς πολλοὶ μάρτυρες, μαρτυρήσοντες ὡς δικαίως βεβιώκασιν. Οἱ οὖν δικασταὶ ὑπό τε τούτων ἐκπλήττονται, καὶ ἅμα καὶ αὐτοὶ ἀμπεχόμενοι δικάζουσι, πρὸ τῆς ψυχῆς τῆς αὑτῶν ὀφθαλμοὺς καὶ ὦτα καὶ ὅλον τὸ σῶμα προκεκαλυμμένοι. Ταῦτα δὴ αὐτοῖς πάντα ἐπίπροσθεν γίγνεται, καὶ τὰ αὑτῶν ἀμφιέσματα, καὶ τὰ τῶν κρινομένων. Πρῶτον μὲν οὖν, ἔφη, παυστέον ἐστὶ προειδότας αὐτοὺς τὸν θάνατον· νῦν γὰρ προΐσασι· τοῦτο μὲν οὖν καὶ δὴ εἴρηται τῷ Προμηθεῖ, ὅπως ἂν παύσῃ

αὐτὸ αὐτῶν. Ἔπειτα γυμνοὺς κριτέον ἁπάντων τούτων· τεθνεῶτας γὰρ δεῖ κρίνεσθαι. Καὶ τὸν κριτὴν δεῖ γυμνὸν εἶναι, τεθνεῶτα, αὐτῇ τῇ ψυχῇ αὐτὴν τὴν ψυχὴν θεωροῦντα ἐξαίφνης ἀποθανόντος ἑκάστου· ἔρημον πάντων τῶν ξυγγενῶν, καταλιπόντα ἐπὶ τῆς γῆς πάντα ἐκεῖνον τὸν κόσμον, ἵνα δικαία ἡ κρίσις ᾖ. Ἐγὼ μὲν οὖν ταῦτα ἐγνωκὼς πρότερος ἢ ὑμεῖς, ἐποιησάμην δικαστὰς υἱεῖς ἐμαυτοῦ· δύο μὲν ἐκ τῆς Ἀσίας, Μίνω τε καὶ Ῥαδάμανθυν· ἕνα δὲ ἐκ τῆς Εὐρώπης, Αἰακόν. Οὗτοι οὖν ἐπειδὰν τελευτήσωσι, δικάσουσιν ἐν τῷ λειμῶνι, ἐν τῇ τριόδῳ, ἐξ ἧς φέρετον τὼ ὁδὼ, ἡ μὲν εἰς μακάρων νήσους, ἡ δ' εἰς Τάρταρον. Καὶ τοὺς μὲν ἐκ τῆς Ἀσίας Ῥαδάμανθυς κρινεῖ· τοὺς δ' ἐκ τῆς Εὐρώπης, Αἰακός· Μίνῳ δὲ πρεσβεῖα δώσω ἐπιδιακρίνειν, ἐὰν ἀπορῇ τι τὼ ἑτέρω, ἵνα ὡς δικαιοτάτη ἡ κρίσις ᾖ περὶ τῆς πορείας τοῖς ἀνθρώποις.

Ταῦτ' ἐστὶν, ἃ ἐγὼ ἀκηκοὼς πιστεύω ἀληθῆ εἶναι· καὶ ἐκ τούτων τῶν λόγων τοιόνδε τι λογίζομαι ξυμβαίνειν. Ὁ θάνατος τυγχάνει ὢν, ὡς ἐμοὶ δοκεῖ, οὐδὲν ἄλλο, ἢ δυοῖν πραγμάτοιν διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σώματος, ἀπ' ἀλλήλοιν. Ἐπειδὰν δὲ διαλυθῆτον ἄρα ἀπ' ἀλλήλοιν, οὐ πολὺ ἧττον ἑκάτερον αὐτοῖν ἔχει τὴν ἕξιν τὴν αὑτοῦ, ἥνπερ καὶ ὅτε ἔζη ὁ ἄνθρωπος· τό τε σῶμα, τὴν φύσιν τὴν αὑτοῦ, καὶ τὰ θεραπεύματα καὶ τὰ παθήματα, ἔνδηλα πάντα· οἷον, εἴ τινος μέγα ἦν τὸ σῶμα φύσει ἢ τροφῇ ἢ ἀμφοτέρα ζῶντος, τούτου καὶ, ἐπειδὰν ἀποθάνῃ, ὁ νεκρὸς μέγας· καὶ εἰ παχὺς, παχὺς καὶ ἀποθανόντος· καὶ τἄλλα οὕτως. Καὶ εἰ αὖ ἐπετήδευε κομᾶν, κομήτης τούτου καὶ ὁ νεκρός· μαστιγίας αὖ εἴ τις ἦν, καὶ ἴχνη εἶχε τῶν πληγῶν οὐλὰς ἐν τῷ σώματι ἢ ὑπὸ μαστίγων ἢ ἄλλων τραυμάτων ζῶν, καὶ τεθνεῶτος τὸ σῶμά ἐστιν ἰδεῖν ταῦτα ἔχον· κατεαγότα εἴ του ἦν μέρη, ἢ διεστραμμένα ζῶντος, καὶ τεθνεῶτος ταῦτα ἔνδηλα· ἑνὶ δὲ λόγῳ, οἷος εἶναι παρεσκεύαστο τὸ σῶμα ζῶν, ἔνδηλα ταῦτα καὶ τελευτήσαντος ἢν πάντα, ἢ τὰ πολλὰ, ἐπί τινα χρόνον. Ταυτὸν

δή μοι δοκεῖ τοῦτ᾽ ἄρα καὶ περὶ τὴν ψυχὴν εἶναι· ἔνδηλα πάντα ἐστὶν ἐν τῇ ψυχῇ, ἐπειδὰν γυμνωθῇ τοῦ σώματος, τά τε τῆς φύσεως, καὶ τὰ παθήματα, ἃ διὰ τὴν ἐπιτήδευσιν ἑκάστου πράγματος ἔσχεν ἐν τῇ ψυχῇ ὁ ἄνθρωπος.

Ἐπειδὰν οὖν ἀφίκωνται παρὰ τὸν δικαστὴν, οἱ μὲν ἐκ τῆς Ἀσίας παρὰ τὸν Ῥαδάμανθυν, ὁ Ῥαδάμανθυς, ἐκείνους ἐπιστήσας, θεᾶται ἑκάστου τὴν ψυχὴν, οὐκ εἰδὼς ὅτου ἐστίν· ἀλλὰ πολλάκις τοῦ μεγάλου βασιλέως ἐπιλαβόμενος, ἢ ἄλλου ὁτουοῦν βασιλέως ἢ δυνάστου, κατεῖδεν οὐδὲν ὑγιὲς ὂν τῆς ψυχῆς, ἀλλὰ διαμεμαστιγωμένην καὶ οὐλῶν μεστὴν ὑπὸ ἐπιορκιῶν καὶ ἀδικίας, ἃ ἑκάστῳ ἡ πρᾶξις αὐτοῦ ἐξωμόρξατο εἰς τὴν ψυχὴν, καὶ πάντα σκολιὰ ὑπὸ ψεύδους καὶ ἀλαζονείας, καὶ οὐδὲν εὐθὺ διὰ τὸ ἄνευ ἀληθείας τετράφθαι· καὶ ὑπὸ ἐξουσίας καὶ τρυφῆς καὶ ὕβρεως καὶ ἀκρασίας τῶν πράξεων, ἀξυμμετρίας τε καὶ αἰσχρότητος γέμουσαν τὴν ψυχὴν εἶδεν· ἰδὼν δὲ, ἀτίμως ταύτην ἀπέπεμψεν εὐθὺ τῆς φρουρᾶς, οἷ μέλλει ἐλθοῦσα ἀνατλῆναι τὰ προσήκοντα πάθη.

Προσήκει δὲ παντὶ τῷ ἐν τιμωρίᾳ ὄντι, ὑπ᾽ ἄλλου ὀρθῶς τιμωρουμένῳ, ἢ βελτίονι γίγνεσθαι καὶ ὀνίνασθαι, ἢ παράδειγμά τι τοῖς ἄλλοις γίγνεσθαι, ἵνα ἄλλοι ὁρῶντες πάσχοντα ἃ ἂν πάσχοι, φοβούμενοι, βελτίους γίγνωνται. Εἰσὶ δὲ οἱ μὲν ὠφελούμενοί τε καὶ δίκην διδόντες ὑπὸ θεῶν τε καὶ ἀνθρώπων οὗτοι, οἳ ἂν ἰάσιμα ἁμαρτήματα ἁμάρτωσιν· ὅμως δὲ δι᾽ ἀλγηδόνων καὶ ὀδυνῶν γίγνεται αὐτοῖς ἡ ὠφέλεια καὶ ἐνθάδε καὶ ἐν ᾅδου· οὐ γὰρ οἷόν τε ἄλλως ἀδικίας ἀπαλλάττεσθαι. Οἳ δ᾽ ἂν τὰ ἔσχατα ἀδικήσωσι, καὶ διὰ τοιαῦτα ἀδικήματα ἀνίατοι γένωνται, ἐκ τούτων τὰ παραδείγματα γίγνεται· καὶ οὗτοι, αὐτοὶ μὲν οὐκέτι ὀνίνανται οὐδὲν, ἅτε ἀνίατοι ὄντες· ἄλλοι δὲ ὀνίνανται οἱ τούτους ὁρῶντες, διὰ τὰς ἁμαρτίας τὰ μέγιστα καὶ ὀδυνηρότατα καὶ φοβερώτατα πάθη πάσχοντας τὸν ἀεὶ χρόνον, ἀτεχνῶς παραδείγματα ἀνηρτημένους ἐκεῖ ἐν ᾅδου ἐν τῷ δεσμωτηρίῳ, τοῖς ἀεὶ τῶν ἀδίκων ἀφικνουμένοις

θεάματα καὶ νουθετήματα. Ὧν ἐγώ φημὶ ἕνα καὶ Ἀρχέλαον ἔσεσθαι, καὶ ἄλλον, ὅστις ἂν τοιοῦτος τύραννος ᾖ· οἶμαι δὲ καὶ τοὺς πολλοὺς εἶναι τούτων τῶν παραδειγμάτων τοὺς ἐκ τύραννων, καὶ βασιλέων, καὶ δυναστῶν, καὶ τὰ τῶν πόλεων πραξάντων, γεγονότας· οὗτοι γὰρ, διὰ τὴν ἐξουσίαν, μέγιστα καὶ ἀνοσιώτατα ἁμαρτήματα ἁμαρτάνουσι. Μαρτυρεῖ δὲ τούτοις καὶ Ὅμηρος· βασιλέας γὰρ καὶ δυνάστας ἐκεῖνος πεποίηκε τοὺς ἐν ᾅδου τὸν ἀεὶ χρόνον τιμωρουμένους, Τάνταλον, καὶ Σίσυφον, καὶ Τιτυόν· Θερσίτην δὲ, καὶ εἴ τις ἄλλος πονηρὸς ἦν ἰδιώτης, οὐδεὶς πεποίηκε μεγάλαις τιμωρίαις ξυνεχόμενον, ὡς ἀνίατον. Οὐ γὰρ, οἶμαι, ἐξῆν αὐτῷ· διὸ καὶ εὐδαιμονέστερος ἦν, ἢ οἷς ἐξῆν· ἀλλὰ γὰρ ἐκ τῶν δυναμένων εἰσὶ καὶ οἱ σφόδρα πονηροὶ γιγνόμενοι ἄνθρωποι. Οὐδὲν μὴν κωλύει καὶ ἐν τούτοις ἀγαθοὺς ἄνδρας ἐγγίγνεσθαι· καὶ σφόδρα γε ἄξιον ἄγασθαι τῶν γιγνομένων. Χαλεπὸν γὰρ καὶ πολλοῦ ἐπαίνου ἄξιον, ἐν μεγάλῃ ἐξουσίᾳ τοῦ ἀδικεῖν γενόμενον, δικαίως διαβιῶναι. Ὀλίγοι δὲ γίγνονται οἱ τοιοῦτοι· ἐπεὶ καὶ ἐνθάδε καὶ ἄλλοθι γεγόνασιν, οἶμαι δὲ καὶ ἔσονται καλοὶ κἀγαθοὶ ταύτην τὴν ἀρετὴν τοῦ δικαίως διαχειρίζειν, ἃ ἄν τις ἐπιτρέπῃ· εἷς δὲ καὶ πάνυ ἐλλόγιμος γέγονεν εἰς τοὺς ἄλλους Ἕλληνας Ἀριστείδης ὁ Λυσιμάχου. Οἱ δὲ πολλοὶ, ὦ ἄριστε, κακοὶ γίγνονται τῶν δυναστῶν.

Ὅπερ οὖν ἔλεγον, ἐπειδὰν ὁ Ῥαδάμανθυς ἐκεῖνος τοιοῦτόν τινα λάβῃ, ἄλλο μὲν περὶ αὐτοῦ οὐκ οἶδεν οὐδὲν, οὔθ' ὅς τις, οὔθ' ὧν τινων, ὅτι δὲ πονηρός τις· καὶ τοῦτο κατιδὼν ἀπέπεμψεν εἰς Τάρταρον, ἐπισημηνάμενος, ἐάν τε ἰάσιμος, ἐάν τε ἀνίατος δοκεῖ εἶναι· ὁ δὲ, ἐκεῖσε ἀφικόμενος, τὰ προσήκοντα πάσχει.

Ἐνίοτε δ' ἄλλην εἰσιδὼν ὁσίως βεβιωκυῖαν καὶ μετ' ἀληθείας, ἀνδρὸς ἰδιώτου, ἢ ἄλλου τινὸς, μάλιστα μὲν, ἔγω γε φημὶ, φιλοσόφου τὰ αὑτοῦ πράξαντος καὶ οὐ πολυπραγμονήσαντος ἐν τῷ βίῳ, ἠγάσθη τε καὶ εἰς μακάρων νήσους ἀπέπεμψε.

Ταυτὰ δὲ ταῦτα καὶ ὁ Αἰακός· ἑκάτερος δὲ τούτων ῥάβδον ἔχων δικάζει. Ὁ δὲ Μίνως ἐπισκοπῶν κάθηται μόνος, ἔχων χρυσοῦν σκῆπτρον, ὥς φησιν Ὀδυσσεὺς ὁ Ὁμήρου ἰδεῖν αὐτὸν,

Χρύσεον σκῆπτρον ἔχοντα, θεμισθεύοντα νεκύεσσιν.

Ἐγὼ μὲν οὖν, ὦ Καλλίκλεις, ὑπὸ τούτων τῶν λόγων πέπεισμαι, καὶ σκοπῶ, ὅπως ἀποφανοῦμαι τῷ κριτῇ ὡς ὑγιεστάτην ἔχων τὴν ψυχήν. Χαίρειν οὖν ἐάσας τὰς τιμὰς τὰς τῶν πολλῶν ἀνθρώπων, τὴν ἀλήθειαν σκοπῶν, πειράσομαι τῷ ὄντι ὡς ἂν δύνωμαι βέλτιστος ὢν καὶ ζῆν καὶ, ἐπειδὰν ἀποθνήσκω, ἀποθνήσκειν. Παρακαλῶ δὲ καὶ τοὺς ἄλλους πάντας ἀνθρώπους καθόσον δύναμαι, καὶ δὴ καὶ σὲ ἀντιπαρακαλῶ ἐπὶ τοῦτον τὸν βίον καὶ τὸν ἀγῶνα τοῦτον, ὃν ἐγὼ φημὶ ἀντὶ πάντων τῶν ἐνθάδε ἀγώνων εἶναι· καὶ ὀνειδίζω σοὶ ὅτι οὐχ οἷός τ' ἔσῃ σαυτῷ βοηθῆσαι, ὅταν ἡ δίκη σοὶ ᾖ καὶ ἡ κρίσις, ἣν νῦν δὴ ἐγὼ ἔλεγον· ἀλλὰ, ἐλθὼν παρὰ τὸν δικαστὴν τὸν τῆς Αἰγίνης υἱὸν, ἐπειδάν σου ἐπιλαβόμενος ἄγῃ, χασμήσῃ καὶ ἰλιγγιάσεις οὐδὲν ἧττον, ἢ ἐγὼ ἐνθάδε, σὺ ἐκεῖ. Καὶ σε ἴσως τυπτήσει τὶς ἐπὶ κόῤῥης ἀτίμως, καὶ πάντως προπηλακιεῖ. Τάχα δ' οὖν ταῦτα μῦθος σοὶ δοκεῖ λέγεσθαι, ὥσπερ γραὸς, καὶ καταφρονεῖς αὐτῶν· καὶ οὐδέν γ' ἂν θαυμαστὸν ἦν καταφρονεῖν τούτων, εἴπῃ ζητοῦντες εἴχομεν αὐτῶν βελτίω καὶ ἀληθέστερα εὑρεῖν· νῦν δὲ ὁρᾷς ὅτι τρεῖς ὄντες ὑμεῖς, οἵπερ σοφώτατοι ἐστὲ τῶν νῦν Ἑλλήνων, σύ τε, καὶ Πῶλος, καὶ Γοργίας, οὐκ ἔχετε ἀποδεῖξαι, ὡς δεῖ ἄλλον τινὰ βίον ζῆν, ἢ τοῦτον, ὅς περ καὶ ἐκεῖσε φαίνεται ξυμφέρων.

Ἀλλ' ἐν τοσούτοις λόγοις, τῶν ἄλλων ἐλεγχομένων, μόνος οὗτος ἠρεμεῖ ὁ λόγοις, ὡς εὐλαβητέον ἐστὶ τὸ ἀδικεῖν μᾶλλον ἢ τὸ ἀδικεῖσθαι· καὶ παντὸς μᾶλλον ἀνδρὶ μελετητέον, οὐ τὸ δοκεῖν εἶναι ἀγαθὸν, ἀλλὰ τὸ εἶναι, καὶ ἰδίᾳ καὶ δημοσίᾳ· ἐὰν δέ τις κατά τι κακὸς γίγνηται, κολαστέος ἐστί· καὶ τουτο δεύτερον ἀγαθὸν, μετὰ τὸ εἶ-

ναι δίκαιον, τὸ γίγνεσθαι, καὶ κολαζόμενον διδόναι δίκην· καὶ πᾶσαν κολακείαν, καὶ τὴν περὶ ἑαυτὸν, καὶ τὴν περὶ τοὺς ἄλλους, καὶ περὶ ὀλίγους, καὶ περὶ πολλοὺς, φευκτέον· καὶ τῇ ῥητορικῇ οὕτω χρηστέον ἐπὶ τὸ δίκαιον ἀεὶ, καὶ τῇ ἄλλῃ πάσῃ πράξει. Ἐμοὶ μὲν οὖν πειθόμενος, ἀκολούθησον ἐνταῦθα, οἷ ἀφικόμενος εὐδαιμονήσεις καὶ ζῶν καὶ τελευτήσας, ὡς ὁ λόγος σημαίνει· καὶ ἔασον τινά σου καταφρονῆσαι, ὡς ἀνοήτου, καὶ προπηλακίσαι, ἐὰν βούληται· καὶ, ναὶ μὰ Δία, σύ γε θαῤῥῶν πατάξαι τὴν ἄτιμον ταύτην πληγήν· οὐδὲν γὰρ δεινὸν πείσῃ, ἐὰν τῷ ὄντι καλὸς κἀγαθὸς ἀσκῶν ἀρετήν. Κἄπειτα οὕτω κοινῇ ἀσκήσαντες, τότε ἤδη, ἐὰν δοκῇ χρῆναι, ἐπιθησόμεθα τοῖς πολιτικοῖς, ἢ, ὁποῖον ἄν τι ἡμῖν δοκῇ, τότε βουλευσόμεθα, βελτίους ὄντες βουλεύεσθαι ἢ νῦν. Αἰσχρὸν γὰρ ἔχοντάς γε, ὡς νῦν φαινόμεθα ἔχειν, ἔπειτα νεανιεύεσθαι ὥς τι ὄντας· οἷς οὐδέποτε ταυτὰ δοκεῖ περὶ τῶν αὐτῶν, καὶ ταῦτα περὶ τῶν μεγίστων, εἰς τοσοῦτον ἥκομεν ἀπαιδευσίας. Ὥσπερ οὖν ἡγεμόνι τῷ λόγῳ χρησώμεθα τῷ νῦν παραφανέντι· ὃς ἡμῖν σημαίνει, ὅτι οὗτος ὁ τρόπος ἄριστος τοῦ βίου, τὴν δικαιοσύνην καὶ τὴν ἄλλην ἀρετὴν ἀσκοῦντας καὶ ζῆν καὶ τεθνάναι. Τούτῳ οὖν ἑπώμεθα, καὶ τοὺς ἄλλους παρακαλῶμεν.

GORGIAS.

GENIUS SOCRATIS.

Ἐγώ σοι φράσω· ἔστι γάρ τι θείᾳ μοίρᾳ παρεπόμενον ἐμοὶ ἐκ παιδὸς ἀρξάμενον δαιμόνιον. Ἔστι δὲ τοῦτο φωνὴ, ἣ, ὅταν γένηται, ἀεί μοι σημαίνει, ὃ ἂν μέλλω πράττειν, τούτου ἀποτροπήν· προτρέπει δὲ οὐδέποτε. Καὶ ἐὰν

τίς μοι τῶν φίλων ἀνακοινῶται, καὶ γένηται ἡ φωνὴ, ταυτὸν τοῦτο ἀποτρέπει, καὶ οὐκ ἐᾷ πράττειν. Καὶ τούτων ὑμῖν μάρτυρας παρέξομαι.

Χαρμίδην γὰρ τουτονὶ γιγνώσκετε τὸν καλὸν γενόμενον, τὸν Γλαύκωνος. Οὗτος ποτὲ ἐτύγχανεν ἐμοὶ ἀνακοινούμενος, μέλλων ἀσκήσειν στάδιον εἰς Νεμέαν. Καὶ εὐθὺς αὐτοῦ ἀρχομένου λέγειν ὅτι μέλλει ἀσκεῖν, ἐγένετο ἡ φωνή· καὶ ἐγὼ διεκώλυόν τε αὐτὸν, καὶ εἶπον ὅτι· Λέγοντος σοῦ μεταξὺ γέγονέ μοι ἡ φωνὴ ἡ τοῦ δαιμονίου· ἀλλὰ μὴ ἄσκει. Ἴσως, ἔφη, σημαίνει σοὶ ὅτι οὐ νικήσω· ἐγὼ δὲ, κἂν μὴ μέλλω νικᾷν, γυμνασάμενός γε τοῦτον τὸν χρόνον ὠφεληθήσομαι. Ταῦτα εἰπὼν, ἤσκει. Ἄξιον οὖν πυθέσθαι αὐτοῦ, ἃ αὐτῷ ξυνέβη ἀπὸ ταύτης τῆς ἀσκήσεως.

Εἰ δὲ βούλεσθε τὸν Τιμάρχου ἀδελφὸν Κλειτόμαχον ἐρέσθαι, τί εἶπεν αὐτῷ Τίμαρχος, ἡνίκα ἀποθανούμενος ᾔει εὐθὺ τοῦ δαιμονίου, ἐκεῖνός τε, καὶ Εὔαθλος ὁ σταδιοδρομῶν, ὃς Τίμαρχον ὑπεδέξατο φεύγοντα. Ἐρεῖ γὰρ ὑμῖν, ὅτι εἶπεν αὐτῷ ταυτί. Ὦ Κλειτόμαχε, ἔφη, ἐγὼ μέντοι ἔρχομαι ἀποθανούμενος νυνὶ, διότι Σωκράτει οὐκ ἤθελον πείθεσθαι. Τί δὴ οὖν ποτε τοῦτο εἶπεν ὁ Τίμαρχος, ἐγὼ φράσω. Ὅτε ἀνίστατο ἐκ τοῦ ξυμποσίου ὁ Τίμαρχος, καὶ Φιλήμων ὁ Φιλημονίδου, ἀποκτενοῦντες Νικίαν τὸν Ἡροσκαμάνδρου, ἠπιστάσθην μὲν αὐτὼ μόνω τὴν ἐπιβουλήν· ὁ δὲ Τίμαρχος ἀνιστάμενος πρός με εἶπε· Τί λέγεις, ἔφη, ὦ Σώκρατες; ὑμεῖς μὲν πίνετε, ἐμὲ δὲ δεῖ ποι ἐξαναστῆναι· ἥξω δὲ ὀλίγον ὕστερον, ἐὰν τύχω. Καί μοι ἐγένετο ἡ φωνὴ, καὶ εἶπον πρὸς αὐτόν· Μηδαμῶς, ἔφην, ἀναστῇς· γέγονε γάρ μοι τὸ εἰωθὸς σημεῖον τὸ δαιμόνιον. Καὶ ὃς ἐπέσχε· καὶ διαλείπων χρόνον, αὖθις ὡρμᾶτο ἰέναι, καὶ ἔφη· Εἶμι δὴ, Σώκρατες. Αὖθις ἐγένετο ἡ φωνή· αὖθις οὖν αὐτὸν ἠνάγκασα ἐπισχεῖν. Τὸ τρίτον βουλόμενός με λαθεῖν, ἀνέστη, οὐκέτι εἰπών μοι οὐδὲν, ἀλλὰ λαθὼν ἐπιτηρήσας ἄλλοσε τὸν νοῦν ἔχοντα· καὶ οὕτως ᾤχετο ἀπιὼν, καὶ διεπράξατο ἐξ ὧν

ἥξει ἀποθανούμενος. Ὅθεν δὴ τοῦτο εἶπε πρὸς τὸν ἀδελφὸν, ὅ περ νῦν ὑμῖν ἐγὼ, ὅτι ἴοι ἀποθανούμενος διὰ τὸ ἐμοὶ ἀπιστῆσαι.

Ἔτι τοίνυν περὶ τῶν ἐν Σικελίᾳ πολλῶν ἀκούσεσθον, ἃ ἐγὼ ἔλεγον περὶ τῆς διαφθορᾶς τοῦ στρατοπέδου. Καὶ τὰ μὲν παρεληλυθότα, τῶν εἰδότων ἐστὶν ἀκοῦσαι· πεῖραν δ' ἔξεστι νυνὶ λαβεῖν τοῦ σημείου, εἰ ἄρα τὶ λέγει. Ἐπὶ γὰρ τῇ ἐπὶ στρατείαν ἐξορμῇ Σαννίωνος τοῦ καλοῦ, ἐγένετό μοι σημεῖον· οἴχεται δὲ νῦν μετὰ Θρασύλλου στρατευσόμενος εὐθὺ Ἐφέσου καὶ Ἰωνίας· ἐγὼ οὖν οἴομαι ἐκεῖνον ἢ ἀποθανεῖσθαι, ἢ ὁμοῦ τὶ τούτῳ ἐλᾷν, καὶ περί γε τῆς πραγματείας τῆς ἄλλης πάνυ φοβοῦμαι.

Ταῦτα δὴ πάντα εἴρηκά σοι, ὅτι ἡ δύναμις αὕτη τοῦ δαιμονίου τούτου καὶ εἰς τὰς ξυνουσίας τῶν μετ' ἐμοῦ ξυνδιατριβόντων τὸ ἅπαν δύναται. Πολλοῖς μὲν γὰρ ἐναντιοῦται, καὶ οὐκ ἔστι τούτοις ὠφεληθῆναι μετ' ἐμοῦ διατρίβουσιν, ὥστε οὐχ οἷόν τέ μοι τούτοις ξυνδιατρίβειν. Πολλοῖς δὲ ξυνεῖναι μὲν οὐ διακωλύει· ὠφελοῦνται δὲ οὐδὲν ξυνόντες. Οἷς δ' ἂν ξυλλάβηται τῆς ξυνουσίας ἡ τοῦ δαιμονίου δύναμις, οὗτοί εἰσιν ὧν καὶ σὺ ᾔσθησαι· ταχὺ γὰρ παραχρῆμα ἐπιδιδόασι. Καὶ τούτων αὖ τῶν ἐπιδιδόντων, οἱ μὲν καὶ βέβαιον ἔχουσι καὶ παραμόνιμον τὴν ὠφέλειαν· πολλοὶ δὲ, ὅσον ἂν μετ' ἐμοῦ χρόνον ὦσι, θαυμάσιον ἐπιδιδόασιν· ἐπειδὰν δέ μου ἀπόσχωνται, πάλιν οὐδὲν διαφέρουσιν ὁτουοῦν. Τοῦτό ποτε ἔπαθεν Ἀριστείδης ὁ Λυσιμάχου υἱὸς τοῦ Ἀριστείδου. Διατρίβων γὰρ μετ' ἐμοῦ, πάμπολυ ἐπεδεδώκει ἐν ὀλίγῳ χρόνῳ· ἔπειτα αὐτῷ στρατεία τὶς ἐγένετο, καὶ ᾤχετο ἐκπλέων. Ἥκων δὲ κατελάμβανε μετ' ἐμοῦ διατρίβοντα Θουκυδίδην τὸν Μελησίου υἱὸν τοῦ Θουκυδίδου. Ὁ δὲ Θουκυδίδης τῇ προτεραίᾳ μοὶ δι' ἀπεχθείας ἐν λόγοις τισὶν ἐγεγόνει. Ἰδών με οὖν ὁ Ἀριστείδης, ἐπειδὴ ἠσπάσατό τε καὶ τἄλλα διελέχθη· Θουκυδίδην δὲ, ἔφη, ὦ Σώκρατες, ἀκούω σεμνύνεσθαι ἄττα πρὸς σὲ, καὶ χαλεπαίνειν ὥς τι

ὄντα. Ἔστι γὰρ, ἔφην ἐγὼ, οὕτως. Τί δέ; οὐκ οἶδεν, ἔφη, πρίν σοι ξυγγένεσθαι, οἷον ἦν τὸ ἀνδράποδον; Οὐκ ἔοικέ γε, ἔφην ἐγὼ, νὴ τοὺς θεούς. Ἀλλὰ μὴν καὶ αὐτός γε, ἔφη, καταγελάστως ἔχω, ὦ Σώκρατες. Τί μάλιστα; ἔφην ἐγώ. Ὅτι, ἔφη, πρίν με ἐκπλεῖν, ὁτῳοῦν ἀνθρώπων οἷός τ' ἦν διαλέγεσθαι, καὶ μηδενὸς χείρων φαίνεσθαι ἐν τοῖς λόγοις, ὥστε καὶ ἐδίωκον τὰς ξυνουσίας τῶν χαριεστάτων ἀνθρώπων· νυνὶ δὲ τοὐναντίον· φεύγω, ἄν τινα καὶ αἰσθάνωμαι πεπαιδευμένον· οὕτως αἰσχύνομαι ἐπὶ τῇ ἐμαυτοῦ φαυλότητι. Πότερον δὲ, ἦν δ' ἐγὼ, ἐξαίφνης σὲ προὔλιπεν αὕτη ἡ δύναμις; ἢ κατὰ σμικρόν; Κατὰ σμικρὸν, ἦ δ' ὅς. Ἡνίκα δέ σοι παρεγένετο, ἦν δ' ἐγὼ; πότερον μαθόντι παρ' ἐμοῦ τι παρεγένετο, ἤ τινι ἄλλῳ τρόπῳ; Ἐγώ σοι ἐρῶ, ἔφη, ὦ Σώκρατες, ἄπιστον μὲν, νὴ τοὺς θεοὺς, ἀληθὲς δέ. Ἐγὼ γὰρ ἔμαθον παρὰ σοῦ οὐδὲν πώποτε, ὡς αὐτὸς οἶσθα· ἐπεδίδουν δὲ, ὁπότε σοὶ ξυνείην, κἂν εἰ ἐν τῇ αὐτῇ μόνον οἰκίᾳ εἴην, μὴ ἐν τῷ αὐτῷ δὲ οἰκήματι· μᾶλλον δὲ, ὁπότε ἐν τῷ αὐτῷ οἰκήματι· καὶ ἔμοι γε ἐδόκουν πολὺ μᾶλλον, ὁπότε, ἐν τῷ αὐτῷ οἰκήματι ὢν, λέγοντος σοῦ, βλέποιμι πρὸς σὲ, μᾶλλον ἢ ὁπότε ἄλλοσε ὁρῴην· πολὺ δὴ μάλιστα καὶ πλεῖστον ἐπεδίδουν, ὁπότε παρ' αὐτόν σε καθήμην, ἐχόμενος σοῦ καὶ ἁπτόμενος. Νῦν δὲ, ἦ δ' ὃς, πᾶσα ἐκείνη ἡ ἕξις ἐξεῤῥύηκεν.

Ἔστιν οὖν, ὦ Θέαγες, τοιαύτη ἡ ἡμετέρα ξυνουσία. Ἐὰν μὲν τῷ θεῷ φίλον ᾖ, πάνυ πολὺ ἐπιδώσεις καὶ ταχύ· εἰ δὲ μὴ, οὔ. Ὅρα οὖν μή σοι ἀσφαλέστερον ᾖ παρ' ἐκείνων τινὶ παιδεύεσθαι, οἳ ἐγκρατεῖς αὐτοί εἰσι τῆς ὠφελείας ἣν ὠφελοῦσι τοὺς ἀνθρώπους, μᾶλλον ἢ παρ' ἐμοῦ, ὅ τι ἂν τύχοι, τοῦτο πρᾶξαι.

THEAGES.

POETA.

Αὕτη μὲν ἡ λίθος, ἣν Εὐριπίδης μὲν Μαγνῆτιν ὠνόμασεν, οἱ δὲ πολλοὶ Ἡράκλειαν, οὐ μόνον αὐτοὺς τοὺς δακτυλίους ἄγει τοὺς σιδηροῦς, ἀλλὰ καὶ δύναμιν ἐντίθησι τοῖς δακτυλίοις ὥστε δύνασθαι ταυτὸν τοῦτο ποιεῖν ὅπερ ἡ λίθος, ἄλλους ἄγειν δακτυλίους· ὥστ᾽ ἐνίοτε ὁρμαθὸς μακρὸς πάνυ σιδηρίων καὶ δακτυλίων ἐξ ἀλλήλων ἤρτηται· πᾶσι δὲ τούτοις ἐξ ἐκείνης τῆς λίθου ἡ δύναμις ἀνήρτηται. Οὕτω δὲ καὶ ἡ Μοῦσα ἐνθέους μὲν ποιεῖ αὕτη· διὰ δὲ τῶν ἐνθέων τούτων ἄλλων ἐνθουσιαζόντων, ὁρμαθὸς ἐξαρτᾶται. Πάντες γὰρ οἵ τε τῶν ἐπῶν ποιηταὶ οἱ ἀγαθοὶ οὐκ ἐκ τέχνης, ἀλλ᾽ ἔνθεοι ὄντες καὶ κατεχόμενοι, πάντα ταῦτα τὰ καλὰ λέγουσι ποιήματα. Καὶ οἱ μελοποιοὶ οἱ ἀγαθοὶ ὡσαύτως, ὥσπερ οἱ Κορυβαντιῶντες οὐκ ἔμφρονες ὄντες ὀρχοῦνται· οὕτω καὶ οἱ μελοποιοὶ οὐκ ἔμφρονες ὄντες τὰ καλὰ μέλη ταῦτα ποιοῦσιν, ἀλλ᾽ ἐπειδὰν ἐμβῶσιν εἰς τὴν ἁρμονίαν καὶ εἰς τὸν ῥυθμὸν, βακχεύουσι, καὶ κατεχόμενοι, ὥσπερ αἱ βάκχαι ἀρύττονται ἐκ τῶν ποταμῶν μέλι καὶ γάλα κατεχόμεναι, ἔμφρονες δὲ οὖσαι, οὔ.

Καὶ τῶν μελοποιῶν ἡ ψυχὴ τοῦτο ἐργάζεται, ὅ περ αὐτοὶ λέγουσι· λέγουσι γὰρ δήπουθεν πρὸς ἡμᾶς οἱ ποιηταὶ, ὅτι ἀπὸ κρηνῶν μελιῤῥύτων, ἐκ Μουσῶν κήπων τινῶν καὶ ναπῶν δρεπόμενοι τὰ μέλη ἡμῖν φέρουσιν, ὥσπερ αἱ μέλιτται, καὶ αὐτοὶ οὕτω πετόμενοι. Καὶ ἀληθῆ λέγουσι· κοῦφον γὰρ χρῆμα ποιητής ἐστι, καὶ πτηνὸν, καὶ ἱερόν· καὶ οὐ πρότερον οἷός τε ποιεῖν, πρὶν ἂν ἔνθεός τε γένηται καὶ ἔκφρων, καὶ ὁ νοῦς μηκέτι ἐν αὐτῷ ἐνῇ. Ἕως δ᾽ ἂν τουτὶ ἔχῃ τὸ κτῆμα, ἀδύνατος πᾶν ποιεῖν ἐστὶν ἄνθρωπος καὶ χρησμῳδεῖν.

Ἅτε οὖν οὐ τέχνῃ ποιοῦντες, καὶ πολλὰ λέγουσι καὶ καλὰ περὶ τῶν πραγμάτων, ὥσπερ σὺ περὶ Ὁμήρου· ἀλλὰ θείᾳ μοίρᾳ τοῦτο μόνον οἷός τε ἕκαστος ποιεῖν καλῶς, ἐφ᾽ ὃ ἡ Μοῦσα αὐτὸν ὥρμησεν· ὁ μὲν διθυράμβους, ὁ δὲ ἐγκώμια, ὁ δὲ ὑπορχήματα, ὁ δ᾽ ἔπη, ὁ δ᾽ ἰάμβους· τὰ δ᾽ ἄλλα φαῦλος αὐτῶν ἕκαστός ἐστιν· οὐ γὰρ τέχνῃ ταῦτα λέγουσιν, ἀλλὰ θείᾳ δυνάμει. Ἐπεὶ, εἰ περὶ ἑνὸς τέχνῃ καλῶς ἠπίσταντο λέγειν, κἂν περὶ τῶν ἄλλων ἁπάντων. Διὰ ταῦτα δὲ ὁ θεὸς, ἐξαιρούμενος τούτων νοῦν, τούτοις χρῆται ὑπηρέταις, καὶ τοῖς χρησμῳδοῖς, καὶ τοῖς μάντεσι τοῖς θείοις, ἵνα ἡμεῖς οἱ ἀκούοντες εἰδῶμεν, ὅτι οὐχ οὗτοί εἰσιν οἱ ταῦτα λέγοντες οὕτω πολλοῦ ἄξια, οἷς νοῦς μὴ πάρεστιν, ἀλλ᾽ ὁ θεὸς αὐτός ἐστιν ὁ λέγων, διὰ τούτων δὲ φθέγγεται πρὸς ἡμᾶς.

Μέγιστον δὲ τεκμήριον τῷ λόγῳ Τύννιχος ὁ Χαλκιδεὺς, ὃς ἄλλο μὲν οὐδὲν πώποτ᾽ ἐποίησε ποίημα, ὅτου τὶς ἂν ἀξιώσειε μνησθῆναι, τὸν δὲ Παίωνα, ὃν πάντες ᾄδουσι, σχεδόν τι πάντων μελῶν κάλλιστον· ἀτεχνῶς, ὅ περ αὐτὸς λέγει, εὕρημά τι Μουσᾶν. Ἐν τούτῳ γὰρ δὴ μάλιστα μοὶ δοκεῖ ὁ θεὸς ἐνδείξασθαι ἡμῖν, ἵνα μὴ διστάζωμεν, ὅτι οὐκ ἀνθρώπινά ἐστι τὰ καλὰ ταῦτα ποιήματα, οὐδὲ ἀνθρώπων, ἀλλὰ θεῖα καὶ θεῶν· οἱ δὲ ποιηταὶ οὐδὲν ἀλλ᾽ ἢ ἑρμηνεῖς εἰσὶ τῶν θεῶν κατεχόμενοι, ἐξ ὅτου ἂν ἕκαστος κατέχηται. Ταῦτα ἐνδεικνύμενος ὁ θεὸς, ἐξεπίτηδες τοῦ φαυλοτάτου ποιητοῦ τὸ κάλλιστον μέλος ᾖσεν.

Οὐκοῦν ὑμεῖς αὖ, οἱ ῥαψῳδοὶ, τὰ τῶν ποιητῶν ἑρμηνεύετε; οὐκοῦν ἑρμηνέων ἑρμηνεῖς γίγνεσθε; Ἔχε δὴ, καί μοι τόδε εἰπὲ, ὦ Ἴων, καὶ μὴ ἀποκρύψῃ ὅ τι ἄν σε ἔρωμαι. Ὅταν εὖ εἴπῃς ἔπη, καὶ ἐκπλήξῃς μάλιστα τοὺς θεωμένους, ἢ τὸν Ὀδυσσέα ὅταν ἐπὶ τὸν οὐδὸν ἐφαλλόμενον ᾄδῃς, ἐκφανῆ γιγνόμενον τοῖς μνηστῆρσι, καὶ ἐκχέοντα τοὺς ὀϊστοὺς πρὸ τῶν ποδῶν, ἢ Ἀχιλλέα ἐπὶ τὸν Ἕκτορα ὁρμῶντα, ἢ καὶ τῶν περὶ Ἀνδρομάχην ἐλεεινῶν τὶ, ἢ περὶ Ἑκάβην, ἢ περὶ Πρίαμον· τότε πότερον ἔμ-

φρων εἶ, ἢ ἔξω σαυτοῦ γίγνῃ, καὶ παρὰ τοῖς πράγμασιν οἴεταί σου εἶναι ἡ ψυχὴ οἷς λέγεις ἐνθουσιάζουσα, ἢ ἐν Ἰθάκῃ οὖσιν, ἢ ἐν Τροίᾳ, ἢ ὅπως ἂν καὶ τὰ ἔπη ἔχῃ;—Οὐ γάρ σε ἀποκρυψάμενος ἐρῶ· ἐγὼ γὰρ ὅταν ἐλεεινόν τι λέγω, δακρύων ἐμπίπλανταί μου οἱ ὀφθαλμοί· ὅταν τε φοβερὸν ἢ δεινὸν, ὀρθαὶ αἱ τρίχες ἵστανται ὑπὸ τοῦ φόβου, καὶ ἡ καρδία πηδᾷ.—Τί οὖν φῶμεν, ὦ Ἴων, ἔμφρονα εἶναι τότε τοῦτον τὸν ἄνθρωπον, ὃς ἂν κεκοσμημένος ἐσθῆτι ποικίλῃ καὶ χρυσοῖς στεφανοῖς, κλάῃ τ' ἐν θυσίαις καὶ ἑορταῖς, μηδὲν ἀπολωλεκὼς τούτων, ἢ φοβῆται, πλέον ἢ ἐν δισμυρίοις ἀνθρώποις ἑστηκὼς φιλίοις, μηδενὸς ἀποδύοντος, ἢ ἀδικοῦντος;

Οἶσθα οὖν ὅτι καὶ τῶν θεατῶν τοὺς πολλοὺς ταυτὰ ταῦτα ὑμεῖς ἐργάζεσθε;—Καὶ μάλα καλῶς οἶδα· καθορῶ γὰρ ἑκάστοτε αὐτοὺς ἄνωθεν ἀπὸ τοῦ βήματος κλάοντάς τε καὶ δεινὸν ἐμβλέποντας, καὶ ξυνθαμβοῦντας τοῖς λεγομένοις.—Οἶσθα οὖν ὅτι οὗτός ἐστιν ὁ θεατὴς τῶν δακτυλίων ὁ ἔσχατος, ὧν ἐγὼ ἔλεγον ὑπὸ τῆς Ἡρακλεώτιδος λίθου ἀπ' ἀλλήλων τὴν δύναμιν λαμβάνειν; Ὁ δὲ μέσος, σὺ ὁ ῥαψῳδὸς καὶ ὑποκριτής· ὁ δὲ πρῶτος, αὐτὸς ὁ ποιητής. Ὁ δὲ θεὸς διὰ πάντων τούτων ἕλκει τὴν ψυχὴν ὅποι ἂν βούληται τῶν ἀνθρώπων, ἀνακρεμαννὺς ἐξ ἀλλήλων τὴν δύναμιν· καὶ ὥσπερ ἐκ τῆς λίθου ἐκείνης, ὁρμαθὸς πάμπολυς ἐξήρτηται χορευτῶν τε καὶ διδασκάλων καὶ ὑποδιδασκάλων, ἐκ πλαγίου ἐξηρτημένων, τῶν τῆς Μούσης ἐκκρεμαμένων δακτυλίων. Καὶ ὁ μὲν τῶν ποιητῶν ἐξ ἄλλης Μούσης, ὁ δὲ ἐξ ἄλλης ἐξήρτηται· ὀνομάζομεν δὲ αὐτὸ, κατέχεται· τὸ δέ ἐστι παραπλήσιον· ἔχεται γάρ. Ἐκ δὲ τούτων τῶν πρώτων δακτυλίων, τῶν ποιητῶν, ἄλλοι ἐξ ἄλλου αὖ ἠρτημένοι εἰσὶ καὶ ἐνθουσιάζουσιν· οἱ μὲν ἐξ Ὀρφέως, οἱ δὲ ἐκ Μουσαίου, οἱ δὲ πολλοὶ ἐξ Ὁμήρου κατέχονταί τε καὶ ἔχονται. Ὧν σὺ, ὦ Ἴων, εἷς εἶ, καὶ κατέχῃ ἐξ Ὁμήρου· καὶ ἐπειδὰν μέν τις ἄλλου του ποιητοῦ ᾄδῃ, καθεύδεις τε καὶ ἀπορεῖς ὅ τι λέγῃς· ἐπει-

δὰν δὲ τούτου τοῦ ποιητοῦ φθέγξηταί τις μέλος, εὐθὺς ἐγρήγορας, καὶ ὀρχεῖταί σου ἡ ψυχὴ, καὶ εὐπορεῖς ὅ τι λέγῃς. Οὐ γὰρ τέχνῃ, οὐδ᾽ ἐπιστήμῃ περὶ Ὁμήρου λέγεις ἃ λέγεις, ἀλλὰ θείᾳ μοίρᾳ καὶ κατοκωχῇ· Ὥσπερ οἱ Κορυβαντιῶντες ἐκείνου μόνου αἰσθάνονται τοῦ μέλους ὀξέως, ὃ ἂν ᾖ τοῦ θεοῦ, ἐξ ὅτου ἂν κατέχωνται, καὶ εἰς ἐκεῖνο τὸ μέλος καὶ σχημάτων καὶ ῥημάτων εὐποροῦσι, τῶν δὲ ἄλλων οὐ φροντίζουσιν· οὕτω καὶ σὺ, ὦ Ἴων, περὶ μὲν Ὁμήρου ὅταν τίς μνησθῇ, εὐπορεῖς· περὶ δὲ τῶν ἄλλων, ἀπορεῖς. Τούτου δ᾽ ἔστι τὸ αἴτιον ὅ μ᾽ ἐρωτᾷς, διότι σὺ περὶ μὲν Ὁμήρου εὐπορεῖς, περὶ δὲ τῶν ἄλλων, οὔ· ὅτι οὐ τέχνῃ, ἀλλὰ θείᾳ μοίρᾳ, Ὁμήρου δεινὸς εἶ ἐπαινέτης.

Ion.

PARS SECUNDA.

DE HOMINE.

DE OFFICIIS.

Ἆρ᾽ οὐχ ἥκοντας μὲν καὶ παρόντας θῶμεν τοὺς ἐποίκους; τὸν δ᾽ ἑξῆς αὐτοῖς διαπεραντέον ἂν εἴη λόγον;

I. Ἄνδρες τοίνυν, φῶμεν πρὸς αὐτοὺς, ὁ μὲν δὴ θεὸς, ὥσπερ καὶ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων, εὐθεῖαν περαίνει κατὰ φύσιν περιπορευόμενος· Τῷ δ᾽ ἀεὶ ξυνέπεται δίκη, τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός· Ἧς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος, ξυνέπεται ταπεινὸς κεκοσμημένος· ὁ δέ τις, ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας, ἢ χρήμασιν ἐπαιρόμενος, ἢ τιμαῖς, ἢ καὶ σώματος εὐμορφίᾳ, ἅμα νεότητι καὶ ἀνοίᾳ φλεγόμενος τὴν ψυχὴν μεθ᾽ ὕβρεως, ὡς οὔτ᾽ ἄρχοντὸς, οὔτε τινὸς ἡγεμόνος δεόμενος, ἀλλὰ καὶ ἄλλοις ἱκανὸς ὢν ἡγεῖσθαι, καταλείπεται ἔρημος θεοῦ· καταλειφθεὶς δὲ, καὶ ἔτι ἄλλους τοιούτους προσλαβὼν, σκιρτᾷ ταράττων πάνθ᾽ ἅμα· καὶ πολλοῖς τισὶν ἔδοξεν εἶναί τις, μετὰ δὲ χρόνον οὐ πολὺν ὑποσχὼν τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ, ἑαυτόν τε καὶ οἶκον καὶ πόλιν ἄρδην ἀνάστατον ἐποίησε.

Πρὸς ταῦτ᾽ οὖν οὕτω διατεταγμένα, τί χρὴ δρᾷν ἢ διανοεῖσθαι, καὶ τί μὴ, τὸν ἔμφρονα; Δῆλον δὴ τοῦτό γε· ὡς τῶν ξυνακολουθησόντων ἐσόμενον τῷ θεῷ, δεῖ διανοηθῆναι πάντα ἄνδρα. Τίς οὖν δὴ πρᾶξις φίλη καὶ ἀκό-

λουθος θεῷ; μία, καὶ ἕνα λόγον ἔχουσα ἀρχαῖον, ὅτι τῷ μὲν ὁμοίῳ τὸ ὅμοιον ὄντι μετρίῳ φίλον ἂν εἴη· τὰ δ' ἄμετρα, οὔτ' ἀλλήλοις, οὔτε τοῖς ἐμμέτροις. Ὁ δὴ θεὸς ἡμῖν πάντων χρημάτων μέτρον ἂν εἴη μάλιστα, καὶ πολὺ μᾶλλον ἤ πού τις, ὥς φασιν, ἄνθρωπος. Τὸν οὖν τῷ τοιούτῳ προσφιλῆ γενησόμενον, εἰς δύναμιν ὅτι μάλιστα καὶ αὐτὸν τοιοῦτον ἀναγκαῖον γίγνεσθαι.

Καὶ κατὰ τοῦτον δὴ τὸν λόγον, ὁ μὲν σώφρων ἡμῶν, θεῷ φίλος· ὅμοιος γάρ· ὁ δὲ μὴ σώφρων, ἀνόμοιός τε καὶ διάφορος καὶ ἄδικος. Καὶ τἄλλα οὕτω κατὰ τὸν αὐτὸν λόγον ἔχει.

Νοήσωμεν δὴ τούτοις ἑπόμενον εἶναι τὸν τοιόνδε λόγον, ἁπάντων κάλλιστον καὶ ἀληθέστατον, οἶμαι, λόγων· ὡς τῷ μὲν ἀγαθῷ, θύειν καὶ προσομιλεῖν δὴ τοῖς θεοῖς, καὶ εὐχαῖς καὶ ἀναθήμασι καὶ ξυμπάσῃ θεραπείᾳ θεῶν, κάλλιστον καὶ ἄριστον καὶ ἀνυσιμώτατον πρὸς τὸν εὐδαίμονα βίον, καὶ δὴ καὶ διαφερόντως πρέπον· τῷ δὲ κακῷ τούτων τἀναντία πέφυκεν. Ἀκάθαρτος γὰρ τὴν ψυχὴν ὅ γε κακός· καθαρὸς δὲ ὅ γ' ἐναντίος. Παρὰ δὲ μιαροῦ δῶρα οὔτ' ἄνδρ' ἀγαθὸν, οὔτε θεὸν, ἐστί ποτε τό γε ὀρθὸν δέχεσθαι. Μάτην οὖν περὶ θεοὺς ὁ πολύς ἐστι πόνος τοῖς ἀνοσίοις· τοῖς δὲ ὁσίοις ἐγκαιρότατος ἅπασι.

Σκοπὸς μὲν οὖν ἡμῖν οὗτος, οὗ δεῖ στοχάζεσθαι. Βέλη δὲ αὐτοῦ καὶ οἷον ἡ τοῖς βέλεσιν ἔφεσις, τὰ ποῖ' ἂν λεγόμενα, ὀρθότατ' ἂν φέροιτο; Πρῶτον μὲν, φαμὲν, τιμὰς τὰς μετ' ὀλυμπίους τε καὶ τοὺς τὴν πόλιν ἔχοντας θεοὺς, τοῖς χθονίοις ἄν τις θεοῖς ἄρτια καὶ δεύτερα καὶ ἀριστερὰ νέμων, ὀρθότατα τοῦ τῆς εὐσεβείας σκοποῦ τυγχάνοι· τοῖς δὲ τούτων ἄνωθεν τὰ περιττὰ καὶ ἀντίφωνα τοῖς ἔμπροσθεν ῥηθεῖσι νῦν δή. Μετὰ θεοὺς δὲ τούσδε, καὶ τοῖς δαίμοσιν ὅ γ' ἔμφρων ὀργιάζοιτ' ἄν· ἥρωσι δὲ μετὰ τούτους· ἐπακολουθεῖ δ' αὐτοῖς ἱδρύματα ἴδια πατρῴων θεῶν κατὰ νόμον ὀργιαζόμενα· γονέων δὲ μετὰ ταῦτα τιμαὶ

ζώντων, ὡς θέμις, ὀφείλοντα ἀποτίνειν τὰ πρῶτά τε καὶ μέγιστα ὀφειλήματα, χρεῶν πάντων πρεσβύτατα, νομίζειν δὲ, ἃ κέκτηται καὶ ἔχει, πάντα εἶναι τῶν γεννησάντων καὶ θρεψαμένων, πρὸς τὸ παρέχειν αὐτὰ εἰς ὑπηρεσίαν ἐκείνοις κατὰ δύναμιν πᾶσαν, ἀρχόμενον ἀπὸ τῆς οὐσίας, δεύτερα τὰ τοῦ σώματος, τρίτα τὰ τῆς ψυχῆς· ἀποτίνοντα δανείσματα ἐπιμελείας τε καὶ ὑπερπονούντων ὠδῖνας παλαιὰς ἐπὶ νέοις δανεισθείσας, ἀποδιδόντα δὲ παλαιοῖς ἐν τῷ γήρᾳ σφόδρα κεχρημένοις. Παρὰ δὲ πάντα τὸν βίον ἔχειν τε καὶ ἐσχηκέναι χρὴ πρὸς αὑτοῦ γονέας εὐφημίαν διαφερόντως· διότι κούφων καὶ πτηνῶν λόγων βαρυτάτη ζημία· πᾶσι γὰρ ἐπίσκοπος τοῖς περὶ τὰ τοιαῦτα ἐτάχθη δίκης Νέμεσις ἄγγελος. Θυμουμένοις τε οὖν ὑπείκειν δεῖ καὶ ἀποπιμπλᾶσι τὸν θυμὸν, ἐάν τ᾽ ἐν λόγοις, ἐάν τ᾽ ἐν ἔργοις δρῶσι τὸ τοιοῦτον, ξυγγιγνώσκοντα ὡς εἰκότως μάλιστα πατὴρ υἱεῖ, δοξάζων ἀδικεῖσθαι, θυμοῖτ᾽ ἂν διαφερόντως.

Τελευτησάντων δὲ γονέων, ταφὴ μὲν ἡ σωφρονεστάτη, καλλίστη· μήθ᾽ ὑπεραίροντα τῶν εἰθισμένων ὄγκων, μήτ᾽ ἐλλείποντα, ὧν οἱ προπάτορες τοὺς ἑαυτῶν γεννήτας ἐτίθεσαν. Τάς τε αὖ κατ᾽ ἐνιαυτὸν τῶν ἤδη τέλος ἐχόντων ὡσαύτως ἐπιμελείας τὰς κόσμον φερούσας ἀποδιδόναι· τῷ δὲ μὴ παραλείπειν μνήμην ἐνδελεχῆ παρεχόμενον, τούτῳ μάλιστ᾽ ἀεὶ πρεσβεύειν, δαπάνης τε τῆς διδομένης ὑπὸ τύχης τὸ μέτριον τοῖς κεκμηκόσι νέμοντα. Ταῦτ᾽ οὖν ποιοῦντες καὶ κατὰ ταῦτα ζῶντες ἑκάστοτε ἕκαστοι, τὴν ἀξίαν ἂν παρὰ θεῶν, καὶ ὅσοι κρείττονες ἡμῶν, κομιζοίμεθα, ἐν ἐλπίσιν ἀγαθαῖς διάγοντες τὸ πλεῖστον τοῦ βίου.

Ἃ δὲ πρὸς ἐκγόνους καὶ ξυγγενεῖς καὶ φίλους καὶ πολίτας, ὅσα τε ξενικὰ πρὸς θεῶν θεραπεύματα καὶ ὁμιλίας ξυμπάντων τούτων ἀποτελοῦντα, τὸν ἑαυτοῦ βίον φαιδρυνάμενον, κατὰ νόμον κοσμεῖν δεῖ· τῶν νόμων αὐτῶν ἡ διέξοδος, τὰ μὲν πείθουσα, τὰ δὲ μὴ ὑπείκοντα

πειθοῖ τῶν ἠθῶν βίᾳ καὶ δίκῃ κολάζουσα, τὴν πόλιν ἡμῖν, ξυμβουληθέντων θεῶν, μακαρίαν τε καὶ εὐδαίμονα ἀποτελεῖ.

Ἃ δὲ χρὴ μὲν αὖ καὶ ἀναγκαῖον εἰπεῖν νομοθέτην, ὅςτις ἅπερ ἐγὼ διανοεῖται, ἐν δὲ σχήματι νόμου ἀναρμοστεῖ λεγόμενα, τούτων πέρι δοκεῖ μοὶ δεῖγμα προσενεγκόντα αὐτῷ τε καὶ ἐκείνοις οἷς νομοθετήσει, τὰ λοιπὰ πάντα εἰς δύναμιν διεξελθόντα, τὸ μετὰ τοῦτο ἄρχεσθαι τῆς θέσεως τῶν νόμων......

Ἀκούοι δὴ πᾶς, ὥσπερ νῦν δὴ τὰ περὶ θεῶν τε ἤκουε καὶ τῶν φίλων προπατόρων.

II. Πάντων γὰρ τῶν αὐτοῦ κτημάτων μετὰ θεοὺς ψυχὴ θειότατον, οἰκειότατον ὄν. Τὰ δ' αὐτοῦ διττά ἐστι πανταπασι· τὰ μὲν οὖν κρείττω καὶ ἀμείνω, δεσπόζοντα· τὰ δὲ ἥττω καὶ χείρω, δοῦλα. Τῶν οὖν αὐτοῦ τὰ δεσπόζοντα ἀεὶ προτιμητέον τῶν δουλευόντων. Οὕτω δὴ τὴν αὐτοῦ ψυχὴν, μετὰ θεοὺς ὄντας δεσπότας καὶ τοὺς τούτοις ἑπομένους, τιμᾷν δεῖν λέγων δευτέραν, ὀρθῶς παρακελεύομαι.

Τιμᾷ δ', ὡς ἔπος εἰπεῖν, ἡμῶν οὐδεὶς ὀρθῶς· δοκεῖ δέ. Θεῖον γὰρ ἀγαθόν που τιμή· τῶν δὲ κακῶν οὐδὲν τίμιον. Ὁ δ' ἡγούμενος ἤ τισι λόγοις ἢ δώροις αὐτὴν αὔξειν, μηδὲν βελτίω δὲ ἐκ χείρονος αὐτὴν ἀπεργαζόμενος, τιμᾷν μὲν δοκεῖ, δρᾷ δὲ τοῦτο οὐδαμῶς.

Αὐτίκα παῖς εὐθὺς γενόμενος ἄνθρωπος πᾶς ἡγεῖται πάντα ἱκανὸς εἶναι γιγνώσκειν, καὶ τιμᾷν οἴεται ἐπαινῶν τὴν αὐτοῦ ψυχὴν, καὶ προθυμούμενος ἐπιτρέπει πράττειν ὅ τι ἂν ἐθέλῃ. Τὸ δὲ νῦν λεγόμενόν ἐστιν, ὡς δρῶν ταῦτα βλάπτει καὶ οὐ τιμᾷ· δεῖ δὲ, ὥς φαμὲν, μετά γε θεοὺς δευτέραν. Οὐδέ γε, ὅταν ἄνθρωπος τῶν αὐτοῦ ἑκάστοτε ἁμαρτημάτων μὴ ἑαυτὸν αἴτιον ἡγῆται καὶ τῶν πλείστων κακῶν καὶ μεγίστων, ἀλλ' ἄλλους, ἑαυτὸν δὲ ἀεὶ ἀναίτιον ἐξαιρῇ, τιμᾷ τὴν αὐτοῦ ψυχὴν, ὡς δὴ δοκεῖ· ὁ δὲ πολλοῦ δεῖ δρᾷν τοῦτο· βλάπτει γάρ.

Οὐδὲ, ὁπόταν ἡδοναῖς, παρὰ λόγον τὸν τοῦ νομοθέτου καὶ ἔπαινον, χαρίζηται, τότε οὐδαμῶς τιμᾷ· ἀτιμάζει δὲ, κακῶν καὶ μεταμελείας ἐμπιπλὰς αὐτήν. Οὐδέ γε, ὁπόταν αὖ τἀναντία τοὺς ἐπαινουμένους πόνους καὶ φόβους καὶ ἀλγηδόνας καὶ λύπας μὴ διαπονῇ καρτερῶν, ἀλλ' ὑπείκῃ, τότε οὐ τιμᾷ ὑπείκων· ἄτιμον γὰρ αὐτὴν ἀπεργάζεται, δρῶν τὰ τοιαῦτα ξύμπαντα. Οὐδὲ, ὁπόταν ἡγῆται τὸ ζῆν πάντως ἀγαθὸν εἶναι, τιμᾷ· ἀτιμάζει δ' αὐτὴν καὶ τότε· τὰ γὰρ ἐν ᾅδου πράγματα πάντα κακὰ ἡγούμενος τῆς ψυχῆς εἶναι, ὑπείκει καὶ οὐκ ἀντιτείνει, διδάσκων τε καὶ ἐλέγχων ὡς οὐκ οἶδεν οὐδ' εἰ τἀναντία πέφυκε μέγιστα εἶναι πάντων ἀγαθῶν ἡμῖν τὰ περὶ τοὺς θεοὺς τοὺς ἐκεῖ.

Οὐδὲ μὴν, πρὸ ἀρετῆς ὁπόταν αὖ προτιμᾷ τὶς κάλλος, τοῦτ' ἐστὶν οὐχ ἕτερον, ἢ ἡ τῆς ψυχῆς ὄντως καὶ πάντως ἀτιμία. Ψυχῆς γὰρ σῶμα ἐντιμότερον οὗτος ὁ λόγος φησὶν εἶναι ψευδόμενος· οὐδὲν γὰρ γηγενὲς ὀλυμπίων ἐντιμότερον. Ἀλλ' ὁ περὶ ψυχῆς ἄλλως δοξάζων, ἀγνοεῖ ὡς θαυμαστοῦ τούτου κτήματος ἀμελεῖ.

Οὐδέ γε, ὁπόταν χρήματά τις ἐρᾷ κτᾶσθαι μὴ καλῶς, ἢ μὴ δυσχερῶς φέρῃ κτώμενος, δώροις ἄρα τιμᾷ τότε τὴν ἑαυτοῦ ψυχήν· παντὸς μὲν οὖν λείπει· τὸ γὰρ αὐτῆς τίμιον ἅμα καὶ καλὸν ἀποδίδοται σμικροῦ χρυσίου· πᾶς γὰρ ὅ τ' ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς, ἀρετῆς οὐκ ἀντάξιος.

Οὐδὲ, εἰπεῖν ξυλλήβδην, ὃς, ἅπερ νομοθέτης αἰσχρὰ εἶναι καὶ κακὰ διαριθμούμενος τάττῃ, καὶ τοὐναντίον ἀγαθὰ καὶ καλὰ, τῶν μὲν ἀπέχεσθαι μὴ ἐθέλῃ πάσῃ μηχανῇ, τὰ δὲ ἐπιτηδεύειν ξύμπασαν κατὰ δύναμιν, οὐκ οἶδεν ἐν τούτοις πᾶσι πᾶς ἄνθρωπος ψυχὴν, θειότατον ὂν, ἀτιμότατα καὶ κακοσχημονέστατα διατιθείς. Τὴν γὰρ λεγομένην δίκην τῆς κακουργίας τὴν μεγίστην οὐδεὶς, ὡς ἔπος εἰπεῖν, λογίζεται. Ἔστι δ' ἡ μεγίστη, τὸ ὁμοιοῦσθαι τοῖς κακοῖς ἀνδράσιν· ὁμοιούμενον δὲ, τοὺς μὲν ἀγαθοὺς

φεύγειν ἄνδρας καὶ λόγους, καὶ ἀποσχίζεσθαι· τοῖς δὲ προσκολλᾶσθαι διώκοντα κατὰ τὰς ξυνουσίας. Προσπεφυκότα δὲ τοῖς τοιούτοις ἀνάγκη ποιεῖν καὶ πάσχειν, ἃ πεφύκασιν ἀλλήλους οἱ τοιοῦτοι ποιεῖν καὶ λέγειν.

Τοῦτο οὖν δὴ τὸ πάθος, δίκη μὲν οὐκ ἔστι· καλὸν γὰρ τό γε δίκαιον, καὶ ἡ δίκη. Τιμωρία δὲ, ἀδικίας ἀκόλουθος πάθη· ἧς ὅ τε τυχὼν καὶ μὴ τυγχάνων, ἄθλιος· ὁ μὲν, οὐκ ἰατρευόμενος· ὁ δὲ, ἵνα ἕτεροι πολλοὶ σώζωνται, ἀπολλύμενος.

III. Τιμὴ δ᾽ ἐστὶν ἡμῖν, ὡς τὸ ὅλον εἰπεῖν, τοῖς μὲν ἀμείνοσιν ἕπεσθαι· τὰ δὲ χείρονα, γενέσθαι δὲ βελτίω δυνατὰ, τοῦτ᾽ αὐτὸ ὡς ἄριστα ἀποτελεῖν. Ψυχῆς οὖν ἀνθρώπῳ κτῆμα οὐκ ἔστιν εὐφυέστερον εἰς τὸ φυγεῖν μὲν τὸ κακὸν, ἰχνεῦσαι δὲ καὶ ἑλεῖν τὸ πάντων ἄριστον· καὶ ἑλόντα αὖ, κοινῇ ξυνοικεῖν τὸν ἐπίλοιπον βίον. Διὸ δεύτερον ἐτάχθη τιμῇ. Τὸ δὲ τρίτον πᾶς ἂν τοῦτό γε νοήσειε, τὴν τοῦ σώματος εἶναι κατὰ φύσιν τιμήν. Τὰς δ᾽ αὖ τιμὰς δεῖ σκοπεῖν, καὶ τούτων τίνες ἀληθεῖς, καὶ ὅσαι κίβδηλοι· τοῦτο δὲ, νομοθέτου. Μηνύειν δή μοι φαίνεται τάσδε καὶ τοιάσδε τινὰς αὐτὰς εἶναι· τίμιον εἶναι σῶμα οὐ τὸ καλὸν, οὐδὲ ἰσχυρὸν, οὐδὲ τάχος ἔχον, οὐδὲ μέγα, οὐδέ γε τὸ ὑγιεινὸν, καίτοι πολλοῖς ἂν τοῦτό γε δοκεῖ, καὶ μὴν οὐδὲ τὰ τούτων γ᾽ ἐναντία· τὰ δ᾽ ἐν τῷ μέσῳ, ἁπάσης ταύτης τῆς ἕξεως ἐφαπτόμενα, σωφρονέστατα ἅμα τε καὶ ἀσφαλέστατα εἶναι μακρῷ· τὰ μὲν γὰρ χαύνους τὰς ψυχὰς καὶ θρασείας ποιεῖ· τὰ δὲ, ταπεινάς τε καὶ ἀνελευθέρους.

Ὡς δ᾽ αὔτως ἡ τῶν χρημάτων καὶ κτημάτων κτῆσις καὶ τιμήσεως κατὰ τὸν αὐτὸν ῥυθμὸν ἔχει. Τὰ μὲν γὰρ ὑπέρογκα ἑκάστων τούτων ἔχθρας καὶ στάσεις ἀπεργάζεται ταῖς πόλεσι, καὶ ἰδίᾳ· τὰ δ᾽ ἐλλείποντα, δουλείας ὡστοπολύ. Μὴ δή τις φιλοχρημονείτω παίδων γ᾽ ἕνεκα, ἵνα ὅτι πλουσιωτάτους καταλίπῃ. Οὔτε γὰρ ἐκείνοις, οὔτ᾽ αὖ τῇ πόλει ἄμεινον. Ἡ γὰρ τῶν νέων ἀκολάκευτος οὐσία,

τῶν δ᾽ ἀναγκαίων μὴ ἐνδεὴς, αὕτη πασῶν μουσικωτάτη τε καὶ ἀρίστη· ξυμφωνοῦσα γὰρ ἡμῖν καὶ ξυναρμόττουσα εἰς ἅπαντα, ἄλυπον τὸν βίον ἀπεργάζεται. Παισὶ δὲ αἰδῶ χρὴ πολλὴν, οὐ χρυσὸν καταλείπειν.

Οἰόμεθα δ᾽, ἐπιπλήττοντες τοῖς νέοις ἀναισχυντοῦσι, τοῦτο καταλείψειν· τὸ δ᾽ ἔστιν οὐκ ἐκ τοῦ νῦν παρακελεύσματος τοῖς νέοις γιγνόμενον, ὃ παρακελεύονται λέγοντες, ὡς δεῖ πάντα αἰσχύνεσθαι τὸν νέον. Ὁ δὲ ἔμφρων νομοθέτης τοῖς πρεσβυτέροις ἂν μᾶλλον παρακελεύοιτο αἰσχύνεσθαι τοὺς νέους, καὶ πάντων μάλιστα εὐλαβεῖσθαι, μή ποτέ τις αὐτὸν ἴδῃ τῶν νέων ἢ καὶ ἐπακούσῃ δρῶντα ἢ λέγοντά τι τῶν αἰσχρῶν. Ὡς ὅπου ἀναισχυντοῦσι γέροντες, ἀνάγκη καὶ νέους ἐνταῦθα εἶναι ἀναιδεστάτους. Παιδεία γὰρ νέων διαφέρουσά ἐστιν ἅμα καὶ αὐτῶν, οὐ τὸ νουθετεῖν, ἀλλ᾽, ἅπερ ἂν ἄλλον νουθετῶν εἴποι τὶς, φαίνεσθαι ταῦτα αὐτὸν δρῶντα διὰ βίου.

IV. Ξυγγένειαν δὲ καὶ ὁμογνίων θεῶν κοινωνίαν ἅπασαν ταυτοῦ φύσιν αἵματος ἔχουσαν τιμῶν τὶς καὶ σεβόμενος, εὔνους ἂν γενέσθαι οὓς θεοὺς εἰς παίδων αὑτοῦ σπορὰν ἴσχει κατὰ λόγον.

Καὶ μὴν τό γε φίλων καὶ ἑταίρων πρὸς τὰς ἐν βίῳ ὁμιλίας εὐμενὲς ἄν τις κτῷτο, μείζους μὲν καὶ σεμνοτέρας τὰς ἐκείνων ὑπηρεσίας εἰς αὑτὸν ἡγούμενος ἢ ᾽κεῖνοι, ἐλάττους δ᾽ αὖ τὰς αὑτοῦ διανοούμενος εἰς τοὺς φίλους χάριτας αὐτῶν τῶν φίλων τε καὶ ἑταίρων.

Εἰς μὴν πόλιν καὶ πολίτας μακρῷ ἄριστος, ὅστις, πρὸ τοῦ Ὀλυμπίασι καὶ ἁπάντων ἀγώνων πολεμικῶν τε καὶ εἰρηνικῶν, νικᾷν δέξαιτ᾽ ἂν δόξῃ ὑπηρεσίας τῶν οἴκοι νόμων, ὡς ὑπηρετηκὼς πάντων κάλλιστα ἀνθρώπων αὐτοῖς ἐν τῷ βίῳ.

Πρὸς δ᾽ αὖ τοὺς ξένους διανοητέον ὡς ἁγιώτατα ξυμβόλαια ὄντα. Σχεδὸν γὰρ πάντ᾽ ἐστὶ τὰ τῶν ξένων καὶ εἰς τοὺς ξένους ἁμαρτήματα παρὰ τῶν πολιτῶν εἰς θεὸν ἀνηρτημένα τιμωρὸν μᾶλλον. Ἔρημος γὰρ ὢν ὁ ξένος

ἑταίρων τε καὶ ξυγγενῶν, ἐλεεινότερος ἀνθρώποις καὶ θεοῖς· ὁ δυνάμενος οὖν τιμωρεῖν μᾶλλον, βοηθεῖ προθυμότερον. Δύναται δὲ διαφερόντως ὁ ξένιος ἑκάστων δαίμων καὶ θεὸς, τῷ ξενίῳ ξυνεπόμενοι Διΐ. Πολλῆς οὖν εὐλαβείας, ᾧ καὶ σμικρὸν προμηθείας ἔνι, μηδὲν ἁμάρτημα περὶ ξένους ἁμαρτόντα ἐν τῷ βίῳ, πρὸς τὸ τέλος αὐτοῦ πορευθῆναι. Ξενικῶν δ' αὖ καὶ ἐπιχωρίων ἁμαρτημάτων, τὸ περὶ τοὺς ἱκέτας μέγιστον γίγνεται ἁμάρτημα ἑκάστοις. Μεθ' οὗ γὰρ ἱκετεύσας μάρτυρος ὁ ἱκέτης θεοῦ, ἔτυχεν ὁμολογιῶν, φύλαξ διαφέρων οὗτος τοῦ παθόντος γίγνεται· ὥστ' οὐκ ἄν ποτε ἀτιμώρητος πάθοι ὁ τυχὼν ὧν ἔπαθε.

V. Τὰ μὲν οὖν περὶ γονέας τε καὶ ἑαυτὸν καὶ τὰ ἑαυτοῦ, περὶ πόλιν τε καὶ φίλους καὶ ξυγγένειαν, ξενικά τε καὶ ἐπιχώρια διεληλύθαμεν σχεδὸν ὁμιλήματα· τὸ δὲ, ποῖός τις ὢν αὐτὸς ἂν κάλλιστα διαγάγοι τὸν βίον, ἑπόμενον τούτῳ διεξελθεῖν. Ὅσ' ἂν οὖν, μὴ νόμος, ἀλλ' ἔπαινος παιδεύων καὶ ψόγος ἑκάστους, εὐνοϊκοὺς μᾶλλον καὶ εὐμενεῖς τοῖς τεθήσεσθαι μέλλουσι νόμοις ἀπεργάζεται, ταῦτ' ἐστὶ μετὰ τοῦτο ἡμῖν ῥητέα.

Ἀλήθεια δὴ πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται, πάντων δὲ ἀνθρώποις· ἧς, ὁ γενήσεσθαι μέλλων μακάριός τε καὶ εὐδαίμων, ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη, ἵνα ὡς πλεῖστον χρόνον ἀληθὴς ὢν διαβιοῖ. Πιστὸς γάρ· ὁ δὲ ἄπιστος, ᾧ φίλον ψεῦδος ἑκούσιον. Ὅτῳ δὲ ἀκούσιον, ἄνους· ὧν οὐδέτερον ζηλωτόν. Ἄφιλος γὰρ δὴ πᾶς ὅ γε ἄπιστος καὶ ἀμαθής· χρόνου δὲ προϊόντος γνωσθεὶς, εἰς τὸ χαλεπὸν γῆρας ἐρημίαν αὐτῷ πᾶσαν κατεσκευάσατο ἐπὶ τέλει τοῦ βίου· ὥστε, ζώντων καὶ μὴ ἑταίρων καὶ παίδων, σχεδὸν ὁμοίως ὀρφανὸν αὐτῷ γενέσθαι τὸν βίον.

Τίμιος μὲν δὴ καὶ ὁ μηδὲν ἀδικῶν· ὁ δὲ μηδ' ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν, πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκείνου. Ὁ μὲν γὰρ ἑνὸς, ὁ δὲ πολλῶν ἀν-

τάξιος ἑτέρων, μηνύων τὴν τῶν ἄλλων τοῖς ἄρχουσιν ἀδικίαν. Ὁ δὲ καὶ ξυγκολάζων εἰς δύναμιν τοῖς ἄρχουσιν, ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος οὗτος ἀναγορευέσθω, νικηφόρος ἀρετῇ.

Τὸν αὐτὸν δὴ τοῦτον ἔπαινον καὶ περὶ σωφροσύνης χρὴ λέγειν, καὶ περὶ φρονήσεως, καὶ ὅσα ἄλλα τὶς ἀγαθὰ κέκτηται, δυνατὰ μὴ μόνον αὐτὸν ἔχειν, ἀλλὰ καὶ ἄλλοις μεταδιδόναι. Καὶ τὸν μὲν μεταδιδόντα, ὡς ἀκρότατον χρὴ τιμᾷν· τὸν δ᾽ αὖ μὴ δυνάμενον, ἐθέλοντα δὲ, ἐᾷν δεύτερον.

Τὸν δὲ φθονοῦντα καὶ ἑκόντα μηδενὶ κοινωνὸν διὰ φιλίας γιγνόμενον ἀγαθῶν τινῶν, αὐτὸν μὲν ψέγειν· τὸ δὲ κτῆμα μηδὲν μᾶλλον διὰ τὸν κεκτημένον ἀτιμάζειν, ἀλλὰ κτᾶσθαι κατὰ δύναμιν.

Φιλονεικείτω δὲ ἡμῖν πᾶς πρὸς ἀρετὴν ἀφθόνως· ὁ μὲν γὰρ τοιοῦτος τὰς πόλεις αὔξει, ἁμιλλώμενος μὲν αὐτὸς, τοὺς ἄλλους δὲ οὐ κολούων διαβολαῖς. Ὁ δὲ φθονερὸς, τῇ τῶν ἄλλων διαβολῇ δεῖν οἰόμενος ὑπερέχειν, αὐτός τε ἧττον ξυντείνει πρὸς ἀρετὴν τὴν ἀληθῆ, τούς τε ἀνθαμιλλωμένους εἰς ἀθυμίαν καθίστησι τῷ ἀδίκως ψέγεσθαι· καὶ διὰ ταῦτα ἀγύμναστον τὴν πόλιν ὅλην εἰς ἅμιλλαν ἀρετῆς ποιῶν, σμικροτέραν αὐτὴν πρὸς εὐδοξίαν τὸ ἑαυτοῦ μέρος ἀπεργάζεται.

Θυμοειδῆ μὲν δὴ χρὴ πάντα ἄνδρα εἶναι, πρᾷον δὲ ὡς ὅτι μάλιστα. Τὰ γὰρ τῶν ἄλλων χαλεπὰ καὶ δυσίατα ἢ καὶ τοπαράπαν ἀνίατα ἀδικήματα οὐκ ἔστιν ἄλλως ἐκφυγεῖν, ἢ μαχόμενον καὶ ἀμυνόμενον νικῶντα, καὶ τῷ μηδὲν ἀνιέναι κολάζοντα· τοῦτο δὲ ἄνευ θυμοῦ γενναίου ψυχὴ πᾶσα ἀδύνατος δρᾷν. Τὰ δ᾽ αὖ τῶν, ὅσοι ἀδικοῦσι μὲν, ἰατὰ δὲ, γιγνώσκειν χρὴ, πρῶτον μὲν, ὅτι πᾶς ὁ ἄδικος οὐχ ἑκὼν ἄδικος. Τῶν γὰρ μεγίστων κακῶν οὐδεὶς οὐδαμοῦ οὐδὲν ἑκὼν κεκτῆτο ἄν ποτε, πολὺ δ᾽ ἥκιστα ἐν τοῖς τῶν ἑαυτοῦ τιμιωτάτοις. Ψυχὴ δ᾽, ὡς εἴπομεν, ἀληθείᾳ γ᾽ ἐστὶ πᾶσι τιμιώτατον· ἐν οὖν τῷ τιμιωτάτῳ τὸ

μέγιστον κακὸν οὐδεὶς ἑκὼν μή ποτε λάβῃ, καὶ ζῇ διὰ βίου κεκτημένος αὐτό. Ἀλλὰ ἐλεεινὸς μὲν πάντως ὅ γε ἄδικος, καὶ ὁ τὰ κακὰ ἔχων· ἐλεεῖν δὲ τὸν μὲν ἰάσιμα ἔχοντα ἐγχωρεῖ, καὶ ἀνείργοντα τὸν θυμὸν πραΰνειν, καὶ μὴ ἀκροχολοῦντα γυναικείως πικραινόμενον διατελεῖν. Τῷ δ' ἀκράτως καὶ ἀπαραμυθήτως πλημμελεῖ καὶ κακῷ ἐφιέναι δεῖ τὴν ὀργήν. Διὸ δὴ θυμοειδῆ πρέπειν καὶ πρᾷον φαμὲν ἑκάστοτε εἶναι δεῖν τὸν ἀγαθόν.

Πάντων δὲ μέγιστον κακὸν ἀνθρώποις τοῖς πολλοῖς ἔμφυτον ἐν ταῖς ψυχαῖς ἐστίν, οὗ πᾶς ἑαυτῷ ξυγγνώμην ἔχων, ἀποφυγὴν οὐδεμίαν μηχανᾶται. Τοῦτο δ' ἔστιν ὃ λέγουσιν, ὡς φίλος αὐτῷ πᾶς ἄνθρωπος φύσει τέ ἐστι, καὶ ὀρθῶς ἔχει τὸ δεῖν εἶναι τοιοῦτον· τὸ δὲ ἀληθείᾳ γε πάντων ἁμαρτημάτων, διὰ τὴν σφόδρα ἑαυτοῦ φιλίαν, αἴτιον ἑκάστῳ γίγνεται ἑκάστοτε. Τυφλοῦται γὰρ περὶ τὸ φιλούμενον ὁ φιλῶν· ὥστε τὰ δίκαια καὶ τὰ ἀγαθὰ καὶ τὰ καλὰ κακῶς κρίνει, τὸ αὑτοῦ πρὸ τοῦ ἀληθοῦς ἀεὶ τιμᾷν δεῖν ἡγούμενος. Οὔτε γὰρ ἑαυτὸν, οὔτε τὰ ἑαυτοῦ χρὴ τόν γε μέγαν ἄνδρα ἐσόμενον, στέργειν· ἀλλὰ τὰ δίκαια, ἐάν τε παρ' αὑτῳ, ἐάν τε παρ' ἄλλῳ μᾶλλον πραττόμενα τυγχάνῃ. Ἐκ ταυτοῦ δὲ ἁμαρτήματος τούτου, καὶ τὸ τὴν ἀμαθίαν τὴν παρ' αὑτῷ δοκεῖν σοφίαν εἶναι, γέγονε πᾶσιν· ὅθεν οὐκ εἰδότες, ὡς ἔπος εἰπεῖν, οὐδὲν, οἰόμεθα τὰ πάντα εἰδέναι· οὐκ ἐπιτρέποντες δὲ ἄλλοις, ἃ μὴ ἐπιστάμεθα πράττειν, ἀναγκαζόμεθα ἁμαρτάνειν αὐτοὶ πράττοντες. Διὸ πάντα ἄνθρωπον χρὴ φεύγειν τὸ σφόδρα φιλεῖν αὑτόν· τὸν δ' ἑαυτοῦ βελτίω διώκειν δεῖ, μηδεμίαν αἰσχύνην ἐπὶ τῷ τοιούτῳ πρόσθεν ποιούμενον.

Ἃ δὲ σμικρότερα μὲν τούτων καὶ λεγόμενα πολλάκις ἐστὶ, χρήσιμα δὲ τούτων οὐχ ἧττον, χρὴ λέγειν ἑαυτὸν ἀναμιμνήσκοντα. Ὥσπερ γάρ τινος ἀποῤῥέοντος ἀεὶ, δεῖ τοὐναντίον ἐπιῤῥεῖν· ἀνάμνησις δ' ἐστὶν ἐπιῤῥοὴ φρονήσεως ἀπολιπούσης.

Διὸ δὴ γελώτων τε εἴργεσθαι χρὴ τῶν ἐξαισίων καὶ

δακρύων· παραγγέλλειν δὲ παντὶ πάντ' ἄνδρα, καὶ ὅλην περιχάρειαν πᾶσαν ἀποκρυπτόμενον καὶ περιωδυνίαν, εὐσχημονεῖν πειρᾶσθαι, κατά τε εὐπραγίας ἱσταμένου τοῦ δαίμονος ἑκάστου, καὶ κατὰ τύχας, οἷον πρὸς ὑψηλὰ καὶ ἀνάντη δαιμόνων ἀνθισταμένων τισὶ πράξεσιν. Ἐλπίζειν δ' ἀεὶ τοῖς γε ἀγαθοῖς τὸν θεὸν ἃ δωρεῖται· πόνων μὲν ἐπιπιπτόντων, ἀντὶ μειζόνων ἐλάττους ποιήσειν, τῶν τ' αὖ νῦν παρόντων ἐπὶ τὸ βέλτιον μεταβολάς· περὶ δὲ τὰ ἀγαθὰ, τὰ ἐναντία τούτων, ἀεὶ πάντ' αὐτοῖς παραγενήσεσθαι μετ' ἀγαθῆς τύχης. Ταύταις δὴ ταῖς ἐλπίσιν ἕκαστον χρὴ ζῆν καὶ ταῖς ὑπομνήσεσι πάντων τῶν τοιούτων, μηδὲν φειδόμενον, ἀλλ' ἀεὶ κατά τε παιδιὰς καὶ σπουδὰς ἀναμιμνήσκοντα ἕτερόν τε καὶ ἑαυτὸν σαφῶς.

VI. Νῦν οὖν δὴ περὶ μὲν ἐπιτηδευμάτων οἷα χρὴ ἐπιτηδεύειν, καὶ περὶ αὐτοῦ ἑκάστου, ποῖόν τινα χρεὼν εἶναι, λέλεκται σχεδὸν ὅσα θεῖά ἐστι· τὰ δ' ἀνθρώπινα νῦν ἡμῖν οὐκ εἴρηται· δεῖ δέ· ἀνθρώποις γὰρ διαλεγόμεθα, ἀλλ' οὐ θεοῖς.

Ἔστι δὴ φύσει ἀνθρώπειον μάλιστα, ἡδοναὶ καὶ λῦπαι καὶ ἐπιθυμίαι· ἐξ ὧν ἀνάγκη τὸ θνητὸν πᾶν ζῶον ἀτεχνῶς οἷον ἐξηρτῆσθαί τε καὶ ἐκκρεμάμενον εἶναι σπουδαῖς ταῖς μεγίσταις. Δεῖ δὴ τὸν κάλλιστον βίον ἐπαινεῖν, μὴ μόνον ὅτι τῷ σχήματι κρατεῖ πρὸς εὐδοξίαν, ἀλλὰ καὶ ὡς, ἄν τις ἐθέλῃ γεύεσθαι, καὶ μὴ νέος ὢν φυγὰς ἀπ' αὐτοῦ γένηται, κρατεῖ καὶ τούτῳ ὃ πάντες ζητοῦμεν, τῷ χαίρειν πλείω, ἐλάττω δὲ λυπεῖσθαι παρὰ τὸν βίον ἅπαντα. Ὡς δὲ ἔσται τοῦτο σαφὲς, ἂν γεύηταί τις ὀρθῶς, ἑτοίμως καὶ σφόδρα φανήσεται. Ἡ δὲ ὀρθότης τίς, τοῦτο ἤδη παρὰ τοῦ λόγου χρὴ λαμβάνοντα σκοπεῖν, εἴτε οὕτως ἡμῖν κατὰ φύσιν πέφυκεν, εἴτε ἄλλως παρὰ φύσιν.

Βίον δὲ χρὴ παρὰ βίον ἡδίω καὶ λυπηρότερον ὧδε σκοπεῖν· ἡδονὴν βουλόμεθα εἶναι ἡμῖν, λύπην δὲ οὔθ'

αἱρούμεθα, οὔτε βουλόμεθα· τὸ δὲ μηδέτερον ἀντὶ μὲν ἡδονῆς οὐ βουλόμεθα, λύπης δὲ ἀλλάττεσθαι βουλόμεθα. Λύπην δὲ ἐλάττω μετὰ μείζονος ἡδονῆς βουλόμεθα· ἡδονὴν δὲ ἐλάττω μετὰ μείζονος λύπης οὐ βουλόμεθα. Ἴσα δ' ἀντὶ ἴσων ἑκάτερα τούτων οὐχ, ὡς βουλόμεθα, ἔχοιμεν ἂν διασαφεῖν· ταῦτα δὲ πάντα ἐστὶ πλήθει, καὶ μεγέθει, καὶ σφοδρότησιν, ἰσότησί τε, καὶ ὅσα ἐναντία ἐστὶ πᾶσι τοῖς τοιούτοις, πρὸς βούλησιν διαφέροντά τε καὶ μηδὲν διαφέροντα πρὸς αἵρεσιν ἑκάστων.

Οὕτω δὴ τούτων ἐξ ἀνάγκης διακεκοσμημένων, ἐν ᾧ μὲν βίῳ ἔνεστι πολλὰ ἑκάτερα καὶ μεγάλα καὶ σφοδρὰ, ὑπερβάλλει δὲ τὰ τῶν ἡδονῶν, βουλόμεθα· ἐν ᾧ δὲ τὰ ἐναντία, οὐ βουλόμεθα. Καὶ αὖ ἐν ᾧ ὀλίγα ἑκάτερα καὶ σμικρὰ καὶ ἠρεμαῖα, ὑπερβάλλει δὲ τὰ λυπηρὰ, οὐ βουλόμεθα· ἐν ᾧ δὲ τἀναντία, βουλόμεθα. Ἐν ᾧ δ' αὖ βίῳ ἰσοῤῥοπεῖ, καθάπερ ἐν τοῖς πρόσθεν, δεῖ διανοεῖσθαι τὸν ἰσόῤῥοπον βίον· ὡς, τῶν μὲν ὑπερβαλλόντων τῷ φίλῳ ἡμῖν, βουλόμεθα· τῶν δ' αὖ τοῖς ἐχθροῖς, οὐ βουλόμεθα.

Πάντας δὴ δεῖ διανοεῖσθαι τοὺς βίους ἡμῶν, ὡς ἐν τούτοις ἐνδεδεμένοι πεφύκασι· καὶ δεῖ διανοεῖσθαι, ποίους φύσει βουλόμεθα. Εἰ δέ τι παρὰ ταῦτα ἄρα φαμὲν βούλεσθαι, διά τινα ἄγνοιαν καὶ ἀπειρίαν τῶν ὄντων βίων αὐτὰ λέγομεν. Τίνες δὴ καὶ πόσοι εἰσὶ βίοι, ὧν πέρι δεῖ προελόμενον, τὸ βουλητόν τε καὶ ἑκούσιον, ἀβούλητόν τε καὶ ἀκούσιον ἰδόντα, εἰς νόμον ἑαυτῷ ταξάμενον, τὸ φίλον ἅμα καὶ ἡδὺ καὶ ἄριστόν τε καὶ κάλλιστον ἑλόμενον, ζῆν, ὡς οἷόν τ' ἐστὶν ἄνθρωπον, μακαριώτατα;

Λέγωμεν δὴ σώφρονα βίον ἕνα εἶναι, καὶ φρόνιμον ἕνα, καὶ ἕνα τὸν ἀνδρεῖον, καὶ τὸν ὑγιεινὸν βίον ἕνα ταξώμεθα· καὶ τούτοις οὖσι τέτταρσιν ἐναντίους ἄλλους τέτταρας, ἄφρονα, δειλὸν, ἀκόλαστον, νοσώδη. Σώφρονα μὲν οὖν βίον ὁ γιγνώσκων θήσει πρᾶον ἐπὶ πάντα, καὶ ἠρεμαίας μὲν λύπας, ἠρεμαίας δὲ ἡδονὰς, μαλακὰς

δὲ ἐπιθυμίας, καὶ ἔρωτας οὐκ ἐμμανεῖς παρεχόμενον· ἀκόλαστον δὲ, ὀξὺν ἐπὶ πάντα, καὶ σφοδρὰς μὲν λύπας, σφοδρὰς δὲ ἡδονὰς, ξυντόνους δὲ καὶ οἰστρώδεις ἐπιθυμίας τε καὶ ἔρωτας ὡς οἷόν τ' ἐμμανεστάτους παρεχόμενον· ὑπερβαλλούσας δὲ ἐν μὲν τῷ σώφρονι βίῳ τὰς ἡδονὰς τῶν ἀχθηδόνων· ἐν δὲ τῷ ἀκολάστῳ, τὰς λύπας τῶν ἡδονῶν, μεγέθει καὶ πλήθει καὶ πυκνότησιν· ὅθεν ὁ μὲν ἡδίων ἡμῖν τῶν βίων, ὁ δὲ λυπηρότερος ἐξ ἀνάγκης ξυμβαίνει κατὰ φύσιν γίγνεσθαι, καὶ τόν γε βουλόμενον ἡδέως ζῆν οὐκέτι παρείκει ἑκόντα γε ἀκολάστως ζῆν. Ἀλλ' ἤδη δῆλον ὡς, εἰ τὸ νῦν λεγόμενον ὀρθὸν, πᾶς ἐξ ἀνάγκης ἄκων ἐστὶν ἀκόλαστος· ἢ γὰρ δι' ἀμαθίαν, ἢ δι' ἀκράτειαν, ἢ δι' ἀμφότερα, τοῦ σωφρονεῖν ἐνδεὴς ὢν ζῇ ὁ πᾶς ἀνθρώπινος ὄχλος.

Ταυτὰ δὲ περὶ νοσώδους τε καὶ ὑγιεινοῦ βίου διανοητέον, ὡς ἔχουσι μὲν ἡδονὰς καὶ λύπας· ὑπερβάλλουσι δὲ ἡδοναὶ μὲν λύπας ἐν ὑγιείᾳ, λύπαι δὲ ἡδονὰς ἐν νόσοις. Ἡμῖν δὲ ἡ βούλησις τῆς αἱρέσεως τῶν βίων, οὐχ ἵνα τὸ λυπηρὸν ὑπερβάλῃ· ὅπου δ' ὑπερβάλλεται, τοῦτον τὸν βίον ἡδίω κεκρίκαμεν.

Ὁ δὴ σώφρων τοῦ ἀκολάστου, καὶ ὁ φρόνιμος τοῦ ἄφρονος, φαῖμεν ἂν, καὶ ὁ τῆς ἀνδρείας τοῦ τῆς δειλίας, ἐλάττονα καὶ σμικρότερα καὶ μανώτερα ἔχων ἀμφότερα, τῇ τῶν ἡδονῶν ἑκάτερος ἑκάτερον ὑπερβάλλων, τῇ τῆς λύπης ἐκείνων ὑπερβαλλόντων αὐτοὺς, ὁ μὲν ἀνδρεῖος τὸν δειλὸν, ὁ δὲ φρόνιμος τὸν ἄφρονα νικῶσιν· ὥστε ἡδίους εἶναι τοὺς βίους τῶν βίων, σώφρονα καὶ ἀνδρεῖον καὶ φρόνιμον καὶ ὑγιεινὸν, δειλοῦ καὶ ἄφρονος καὶ ἀκολάστου καὶ νοσώδους· καὶ ξυλλήβδην, τὸν ἀρετῆς ἐχόμενον κατὰ σῶμα, ἢ καὶ κατὰ ψυχὴν, τοῦ τῆς μοχθηρίας ἐχομένου βίου ἡδίω τε εἶναι, καὶ τοῖς ἄλλοις ὑπερέχειν ἐκ περιττοῦ, κάλλει καὶ ὀρθότητι, καὶ ἀρετῇ καὶ εὐδοξίᾳ. Ὥστε τὸν ἔχοντα αὐτὸν, ζῆν εὐδαιμονέστερον ἀπεργάζεσθαι τοῦ ἐναντίου τῷ παντὶ καὶ ὅλῳ.

Καὶ τὸ μὲν προοίμιον τῶν νόμων ἐνταῦθα λεχθὲν τῶν λόγων, τέλος ἐχέτω.

De legibus, IV, V.

PIETAS IN PARENTES.

Γονέων μὲν ἀμελεῖν, οὔτε θεὸς, οὔτε ἄνθρωπος νοῦν ἔχων ξύμβουλός ποτε γένοιτ᾽ ἂν οὐδεὶς οὐδενί. Φρονῆσαι δὲ χρὴ περὶ θεῶν θεραπείας τοιόνδε προοίμιον ἂν γενόμενον, εἰς τὰς τῶν γεννησάντων τιμάς τε καὶ ἀτιμίας ὀρθῶς ξυντεταγμένον.

Νόμοι περὶ θεοὺς ἀρχαῖοι κεῖνται παρὰ πᾶσι διχῆ. Τοὺς μὲν γὰρ τῶν θεῶν ὁρῶντες σαφῶς, τιμῶμεν· τῶν δ᾽ εἰκόνας, ἀγάλματα ἱδρυσάμενοι, οὓς ἡμῖν ἀγάλλουσι καίπερ ἀψύχους ὄντας, ἐκείνους ἡγούμεθα τοὺς ἐμψύχους θεοὺς πολλὴν διὰ ταῦτ᾽ εὔνοιαν καὶ χάριν ἔχειν.

Πατὴρ οὖν ὅτῳ καὶ μήτηρ, ἢ τούτων πατέρες ἢ μητέρες, ἐν οἰκίᾳ κεῖνται κειμήλιοι ἀπειρηκότες γήρᾳ, μηδεὶς διανοηθήτω ποτὲ ἄγαλμα αὐτῶν, τοιοῦτον ἐφέστιον οἴκημα ἐν οἰκίᾳ ἔχων, μᾶλλον κύριον ἔσεσθαι, ἐὰν δὴ κατὰ τρόπον γε ὀρθῶς αὐτὸ θεραπεύῃ ὁ κεκτημένος. Τίνα δὴ τὴν ὀρθότητα εἶναι φράζεις; Ἐγὼ ἐρῶ· καὶ γὰρ οὖν ἄξιον ἀκούειν τά γε δὴ τοιαῦτα. Οἰδίπους, φαμὲν, ἀτιμασθεὶς ἐπεύξατο τοῖς αὐτοῦ τέκνοις, ἃ δὴ καὶ πᾶς ὑμνεῖ τέλεα καὶ ἐπήκοα γενέσθαι παρὰ θεῶν· Ἀμύντορά τε Φοίνικι τῷ ἑαυτοῦ ἐπαρᾶσθαι παιδὶ θυμωθέντα, καὶ Ἱππολύτῳ Θησέα, καὶ ἑτέρους ἄλλοις μυρίους μυρίοις· ὧν γέγονε σαφὲς, ἐπηκόους εἶναι γονεῦσι πρὸς τέκνα θεούς. Βλαβερὸς γὰρ γονεὺς ἐκγόνοις, ὡς οὐδεὶς ἕτερος ἄλλοις,

δικαιότατα. Μὴ δή τις ἀτιμαζομένῳ μὲν διαφερόντως πατρὶ πρὸς παίδων καὶ μητρὶ θεὸν ἐπήκοον ἐν εὐχαῖς ἡγείσθω γίγνεσθαι κατὰ φύσιν· τιμωμένῳ δὲ ἄρα καὶ περιχαρεῖ σφόδρα γενομένῳ, καὶ διὰ τὰ τοιαῦτα ἐν εὐχαῖς λιπαρῶς εἰς ἀγαθὰ τοῖς παισὶ παρακαλοῦντος θεοὺς, οὐκ ἄρα τὰ τοιαῦτα ἀκούειν ἐξ ἴσου καὶ νέμειν ἡμῖν αὐτοὺς ἡγησόμεθα; Ἀλλ' οὐκ ἄν ποτε δίκαιοι νομεῖς εἶεν ἀγαθῶν, ὃ δὴ φαμὲν ἥκιστα θεοῖς εἶναι πρέπον. Οὐκοῦν διανοηθῶμεν ὃ σμικρῷ πρότερον εἴπομεν, ὡς οὐδὲν πρὸς θεῶν τιμιώτερον ἄγαλμα ἂν κτησαίμεθα πατρὸς καὶ προπάτορος παρειμένων γήρᾳ, καὶ μητέρων τὴν αὐτὴν δύναμιν ἐχουσῶν· οὓς ὅταν ἀγάλλῃ τὶς, τιμαῖς γέγηθεν ὁ θεός· οὐ γὰρ ἂν ἐπήκοος ἦν αὐτῶν. Θαυμαστὸν γὰρ δήπου τὸ προγόνων ἵδρυμα ἡμῖν ἐστὶ, διαφερόντως τῶν ἀψύχων. Τὰ μὲν γὰρ θεραπευόμενα ὑφ' ἡμῶν ὅσα ἔμψυχα, ξυνεύχεται ἑκάστοτε, καὶ ἀτιμαζόμενα, τἀναντία· τὰ δ', οὐδέτερα. Ὥςτε, ἂν ὀρθῶς τὶς χρῆται πατρὶ καὶ προπάτορι καὶ πᾶσι τοῖς τοιούτοις, πάντων πρὸς θεοφιλῆ μοῖραν κυριώτατα ἀγαλμάτων ἂν κεκτῆτο.

Πᾶς δὴ νοῦν ἔχων φοβεῖται καὶ τιμᾷ γονέων εὐχὰς, εἰδὼς πολλοῖς καὶ πολλάκις ἐπιτελεῖς γενομένας. Τούτων οὖν οὕτω φύσει διατεταγμένων, τοῖς μὲν ἀγαθοῖς Ἕρμαιον, πρόγονοι γηραιοὶ, ζῶντες μέχρι τῶν ἐσχάτων τοῦ βίου· καὶ ἀπιόντες νέοι, σφόδρα ποθεινοί· τοῖς δὲ κακοῖς εὖ μάλα φοβεροί. Πᾶς δὴ τιμάτω πάσαις τιμαῖς ταῖς ἐννόμοις τοὺς αὑτοῦ γεννήτορας, τοῖς νῦν πεισθεὶς λόγοις· εἰ δ' οὖν τινὰ κατέχοι φήμη κωφὴ τῶν τοιούτων προοιμίων, νόμος ὅδε ἐπὶ τούτοις ὀρθῶς κείμενος ἂν εἴη.

Ἐάν τις ἐν τῇδε τῇ πόλει γονέων ἀμελέστερον ἔχῃ τοῦ δέοντος, καὶ μὴ τῶν υἱῶν καὶ πάντων τῶν ἐγγόνων καὶ ἑαυτοῦ αὐτοῦ μειζόνος εἰς ἅπαντα ἐπιτρέπων καὶ ἀποπληρῶν ἢ τὰς βουλήσεις, ἐξαγγελλέτω μὲν ὁ πάσχων τὶ τοιοῦτον, εἴτε αὐτὸς, εἴτε τινὰ πέμπων, πρὸς τρεῖς μὲν

τῶν νομοφυλάκων τοὺς πρεσβυτάτους, τρεῖς δ' αὖ τῶν περὶ γάμους γυναικῶν ἐπιμελουμένων. Οἱ δ' ἐπιμελείσθωσαν, κολάζοντες τοὺς ἀδικοῦντας· νέους μὲν ὄντας ἔτι, πληγαῖς καὶ δεσμοῖς, μέχριπερ ἂν ἐτῶν ἄνδρες μὲν τυγχάνωσιν ὄντες τριάκοντα· γυναῖκες δὲ δέκα πλείοσιν ἔτεσιν κολαζέσθωσαν ταῖς αὐταῖς κολάσεσι. Ἐὰν δὲ,ποῤῥωτέρω τούτων τῶν ἐτῶν ὄντες, τῶν αὐτῶν ἀμελειῶν περὶ γονέας μὴ ἀφιστῶνται, κακῶσι δέ τινάς τινες, εἰς δικαστήριον εἰσαγόντων αὐτοὺς εἰς ἕνα καὶ ἕκαστον τῶν πολιτῶν, οἵ τινες ἂν ὦσι πρεσβύτατοι ἁπάντων· ἂν δέ τις ὄφλῃ, τιμάτω τὸ δικαστήριον ὅ τι χρὴ τίνειν ἢ πάσχειν· ἀπόῤῥητον μηδὲν ποιούμενοι, ὅσον δυνατὸς ἄνθρωπος πάσχειν ἢ τίνειν. Ἐὰν δέ τις ἀδυνατῇ κακούμενος φράζειν, ὁ πυθόμενος τῶν ἐλευθέρων ἐξαγγελλέτω τοῖς ἄρχουσιν, ἢ κακὸς ἔστω καὶ ὑπόδικος τῷ ἐθέλοντι βλάβης. Ἐὰν δὲ δοῦλος μηνύσῃ, ἐλεύθερος ἔστω· καὶ, ἐὰν μὲν τῶν κακούντων ἢ κακουμένων δοῦλος, ὑπὸ τῆς ἀρχῆς ἀφείσθω· ἐὰν δέ τινος ἄλλου τῶν πολιτῶν, τὸ δημόσιον ὑπὲρ αὐτοῦ τιμὴν τῷ κεκτημένῳ καταβαλλέτω. Τοῖς ἄρχουσι δὲ ἐπιμελὲς ἔστω, μή τις ἀδικῇ τὸν τοιοῦτον, τιμωρούμενος τῆς μηνύσεως ἕνεκα.

De Legibus, XI.

ANIMUS CUPIDITATES REGAT.

Εἰκόνα πλάττε τῆς ψυχῆς λόγῳ. Ποίαν τινά; Τῶν τοιούτων τινὰ, οἷαι μυθολογοῦνται παλαιαὶ γενέσθαι φύσεις, ἥ τε Χιμαίρας, καὶ ἡ Σκύλλης, καὶ Κερβέρου, καὶ ἄλλαι τινὲς συχναὶ λέγονται ξυμπεφυκυῖαι ἰδέαι πολλαὶ εἰς ἓν γενέσθαι. Πλάττε τοίνυν μίαν μὲν ἰδέαν θη-

ρίου ποικίλου καὶ πολυκεφάλου, ἡμέρων δὲ θηρίων ἔχοντος κεφαλὰς κύκλῳ καὶ ἀγρίων, καὶ δύνατου μεταβάλλειν καὶ φύειν ἐξ αὑτοῦ ταῦτα πάντα. Μίαν δὴ τοίνυν ἄλλην ἰδέαν λέοντος, μίαν δὲ ἀνθρώπου· πολὺ δὲ μέγιστον ἔστω τὸ πρῶτον καὶ δεύτερον· δεύτερον, τὸ δεύτερον. Ξύναπτε τοίνυν αὐτὰ εἰς ἓν τρία ὄντα, ὥςτε πῃ ξυμπεφυκέναι ἀλλήλοις. Περίπλασον δὴ αὐτοῖς ἔξωθεν ἑνὸς εἰκόνα τὴν τοῦ ἀνθρώπου· ὥςτε τῷ μὴ δυναμένῳ τὰ ἐντὸς ὁρᾷν, ἀλλὰ τὸ ἔξω μόνον ἔλυτρον ὁρῶντι, ἓν ζῶον φαίνεσθαι ἄνθρωπον.

Λέγωμεν δὴ τῷ λέγοντι ὡς λυσιτελεῖ τούτῳ ἀδικεῖν τῷ ἀνθρώπῳ, δίκαια δὲ πράττειν οὐ ξυμφέρει, ὅτι οὐδὲν ἄλλο φησὶν, ἢ λυσιτελεῖν αὐτῷ, τὸ παντοδαπὸν θηρίον εὐωχοῦντι, ποιεῖν ἰσχυρὸν καὶ τὸν λέοντα καὶ τὰ περὶ τὸν λέοντα· τὸν δὲ ἄνθρωπον λιμοκτονεῖν καὶ ποιεῖν ἀσθενῆ, ὥςτε ἕλκεσθαι ὅπῃ ἂν ἐκείνων ὁπότερον ἄγοι· καὶ μηδὲν ἕτερον ἑτέρῳ ξυνεθίζειν μηδὲ φίλον ποιεῖν, ἀλλ' ἐᾷν αὐτὰ ἐν αὑτοῖς δάκνεσθαί τε καὶ μαχόμενα ἐσθίειν ἄλληλα.

Οὐκοῦν αὖ ὁ τὰ δίκαια λέγων λυσιτελεῖν, φαίη ἂν, δεῖν ταῦτα πράττειν καὶ ταῦτα λέγειν, ὅθεν τοῦ ἀνθρώπου ὁ ἐντὸς ἄνθρωπος ἔσται ἐγκρατέστατος· καὶ τοῦ πολυκεφάλου θρέμματος ἐπιμελήσεται, ὥσπερ γεωργὸς, τὰ μὲν ἥμερα τρέφων καὶ τιθασσεύων, τὰ δὲ ἄγρια ἀποκωλύων φύεσθαι, ξύμμαχον ποιησάμενος τὴν τοῦ λέοντος φύσιν· καὶ κοινῇ πάντων κηδόμενος, φίλα ποιησάμενος ἀλλήλοις τε καὶ αὑτῷ, οὕτω θρέψει.

Κατὰ πάντα τρόπον δὴ ὁ τὰ μὲν δίκαια ἐγκωμιάζων ἀληθῆ ἂν λέγοι· ὁ δὲ τὰ ἄδικα, ψεύδοιτο. Πρός τε γὰρ ἡδονὴν καὶ πρὸς εὐδοξίαν καὶ ὠφέλειαν σκοπουμένῳ, ὁ μὲν ἐπαινέτης τοῦ δικαίου ἀληθεύει· ὁ δὲ ψέκτης οὐδὲν ὑγιὲς, οὐδ' εἰδὼς ψέγει ὅ τι ψέγοι. Πείθωμεν τοίνυν αὐτὸν πρᾴως (οὐ γὰρ ἑκὼν ἁμαρτάνει) ἐρωτῶντες·

Ὦ μακάριε, οὐ καὶ τὰ καλὰ καὶ τὰ αἰσχρὰ νόμιμα

διὰ τὰ τοιαῦτ' ἂν φαῖμεν γεγονέναι; τὰ μὲν καλὰ τὰ ὑπὸ τῷ ἀνθρώπῳ, μᾶλλον δὲ ἴσως τὰ ὑπὸ τῷ θείῳ τὰ θηριώδη ποιοῦντα τῆς φύσεως, αἰσχρὰ δὲ, τὰ ὑπὸ τῷ ἀγρίῳ τὸ ἥμερον δουλούμενα; Ξυμφήσει, ἢ πῶς; Ἐάν μοι πείθηται. Ἔστιν οὖν ὅτῳ λυσιτελεῖ ἐκ τούτου τοῦ λόγου χρυσίον λαμβάνειν ἀδίκως, εἴπερ τοιόνδε τι γίγνεται, λαμβάνων τὸ χρυσίον ἅμα καταδουλοῦται τὸ βέλτιστον ἑαυτοῦ τῷ μοχθηροτάτῳ; Ἢ, εἰ μὲν λαβὼν χρυσίον, υἱὸν ἢ θυγατέρα ἐδουλοῦτο, καὶ ταῦτ' εἰς ἀγρίων τε καὶ κακῶν ἀνδρῶν, οὐκ ἂν αὐτῷ ἐλυσιτέλει, οὐδ' ἂν πάμπολυ ἐπὶ τούτῳ λαμβάνοι; Εἰ δὲ τὸ ἑαυτοῦ θειότατον ὑπὸ τῷ ἀθεωτάτῳ τε καὶ μιαρωτάτῳ δουλοῦται, καὶ μηδὲν ἐλεεῖ, οὐκ ἄρα ἄθλιός ἐστι, καὶ πολὺ ἐπὶ δεινοτέρῳ ὀλέθρῳ χρυσὸν δωροδοκεῖ, ἢ Ἐριφύλη, ἐπὶ τῇ τοῦ ἀνδρὸς ψυχῇ τὸν ὅρμον δεξαμένη;

Οὔκουν καὶ τὸ ἀκολασταίνειν οἴει διὰ τοιαῦτα πάλαι ψέγεσθαι, ὅτι ἀνίεται ἐν τῷ τοιούτῳ τὸ δεινὸν καὶ τὸ μέγα ἐκεῖνο καὶ πολυειδὲς θρέμμα πέρα τοῦ δέοντος; Ἡ δ' αὐθάδεια καὶ δυσκολία ψέγεται, οὐχ ὅταν τὸ λεοντῶδές τε καὶ ὀφεῶδες αὔξηται, καὶ ξυντείνηται ἀναρμόστως; Τρυφὴ δὲ καὶ μαλθακία οὐκ ἐπὶ τῇ τοῦ αὐτοῦ τούτου χαλάσει τε καὶ ἀνέσει ψέγεται, ὅταν ἐν αὐτῷ δειλίαν ἐμποιῇ; Κολακεία δὲ καὶ ἀνελευθερία, οὐχ ὅταν τὶς τὸ αὐτὸ τοῦτο τὸ θυμοειδὲς ὑπὸ τῷ ὀχλώδει θηρίῳ ποιῇ, καὶ ἕνεκα χρημάτων καὶ τῆς ἐκείνου ἀπληστίας προπηλακιζόμενον ἐθίζῃ ἐκ νέου ἀντὶ λέοντος πίθηκον γίγνεσθαι; Βαναυσία δὲ καὶ χειροτεχνία διὰ τί, οἴει, ὄνειδος φέρει; ἢ δι' ἄλλο τι φήσομεν, ἢ ὅταν τὶς ἀσθενὲς φύσει ἔχῃ τὸ τοῦ βελτίστου εἶδος, ὥστε μὴ ἂν δύνασθαι ἄρχειν τῶν ἐν αὐτῷ θρεμμάτων, ἀλλὰ θεραπεύειν ἐκεῖνα καὶ τὰ θωπεύματα αὐτῶν μόνον δύνηται μανθάνειν;

Οὔκουν, ἵνα καὶ ὁ τοιοῦτος ὑπὸ ὁμοίου ἄρχηται, οἷουπερ ὁ βέλτιστος, δοῦλον αὐτὸν φαμὲν εἶναι δεῖν

ἐκείνου τοῦ βελτίστου, καὶ ἔχοντος ἐν αὑτῷ τὸ θεῖον ἄρχον; οὐκ ἐπὶ βλάβῃ τῇ τοῦ δούλου οἰόμενοι δεῖν ἄρχεσθαι αὐτὸν, ὥσπερ Θρασύμαχος ᾤετο τοὺς ἀρχομένους, ἀλλ᾽ ὡς ἄμεινον ὂν παντὶ ὑπὸ θείου καὶ φρονίμου ἄρχεσθαι· μάλιστα μὲν, οἰκεῖον ἔχοντος ἐν αὑτῷ, εἰ δὲ μὴ, ἔξωθεν ἐφεστῶτος· ἵνα εἰς δύναμιν πάντες ὅμοιοι ὦμεν καὶ φίλοι, τῷ αὐτῷ κυβερνώμενοι. Δηλοῖ δέ γε καὶ ὁ νόμος, ὅτι τοιοῦτον βούλεται, πᾶσι τοῖς ἐν τῇ πόλει ξύμμαχος ὤν.

De Republica, ix.

SAPIENTIA, VOLUPTAS.

ἘΜΗΝΥΣΕΝ ἡμῖν τὶς λόγος μὴ ζητεῖν ἐν τῷ ἀμίκτῳ βίῳ τἀγαθὸν, ἀλλ᾽ ἐν τῷ μικτῷ. Τοῖς δὴ θεοῖς εὐχόμενοι κεραννύωμεν, εἴτε Διόνυσος, εἴτε Ἥφαιστος, εἴθ᾽ ὅςτις θεῶν ταύτην τὴν τιμὴν εἴληχε τῆς ξυγκράσεως. Καὶ μὴν καθάπερ ἡμῖν οἰνοχόοις τισὶ παρεστῶσι κρῆναι· μέλιτος μὲν ἂν ἀπεικάζοι τὶς τὴν τῆς ἡδονῆς· τὴν δὲ τῆς φρονήσεως, νηφαντικὴν καὶ ἄοινον, αὐστηροῦ καὶ ὑγιεινοῦ τινὸς ὕδατος· ἃς προθυμητέον ὡς κάλλιστα ξυμμιγνύναι.

Φέρε δὴ πρότερον· ἆρα πᾶσαν ἡδονὴν πάσῃ φρονήσει μιγνύντες, τοῦ καλῶς ἂν μάλιστα ἐπιτύχοιμεν; Ἀλλ᾽ οὐκ ἀσφαλές· ᾗ δὲ ἀκινδυνότερον ἂν μιγνύοιμεν, δόξαν μοὶ δοκῶ τινὰ ἀποφήνασθαι ἄν. Ἦν ἡμῖν ἡδονή τε ἀληθῶς, ὡς οἰόμεθα, μᾶλλον ἑτέρας ἄλλη, καὶ δὴ καὶ τέχνη τέχνης ἀκριβεστέρα; Καὶ ἐπιστήμη δὴ ἐπιστήμης διάφορος· ἡ μὲν, ἐπὶ τὰ γιγνόμενα καὶ ἀπολλύμενα ἀποβλέπουσα· ἡ δὲ, ἐπὶ τὰ μήτε γιγνόμενα, μήτε ἀπολλύμενα, κατὰ ταυτὰ

δὲ καὶ ὡσαύτως ὄντα ἀεί. Ταύτην, εἰς τὸ ἀληθὲς ἐπισκοπούμενοι, ἡγησάμεθα ἐκείνης ἀληθεστέραν εἶναι. Οὐκοῦν εἰ τἀληθέστατα τμήματα ἑκατέρας ἴδοιμεν πρῶτον ξυμμίξαντες, ἆρα ἱκανὰ ταῦτα ξυγκεκραμένα τὸν ἀγαπητότατον βίον ἀπεργασάμενα παρέχειν ἡμῖν; ἤ τινος ἔτι προσδεόμεθα καὶ τῶν μὴ τοιούτων; Ἔστω δή τις ἡμῖν φρονῶν ἄνθρωπος αὐτῆς πέρι δικαιοσύνης ὅ τι ἔστι, καὶ λόγον ἔχων ἑπόμενον τῷ νοεῖν, καὶ δὴ καὶ περὶ τῶν ἄλλων ἁπάντων τῶν ὄντων ὡσαύτως διανοούμενος. Ἆρ' οὖν οὗτος ἱκανῶς ἐπιστήμης ἕξει, κύκλου μὲν καὶ σφαίρας αὐτῆς τῆς θείας τὸν λόγον ἔχων, τὴν δὲ ἀνθρωπίνην ταύτην τὴν σφαῖραν καὶ τοὺς κύκλους τούτους ἀγνοῶν, καὶ χρώμενος ἐν οἰκοδομίᾳ καὶ τοῖς ἄλλοις ὁμοίως κανόσι καὶ τοῖς κύκλοις; Γελοίαν διάθεσιν ἡμῶν ἐν ταῖς θείαις οὖσαν μόνον ἐπιστήμαις λέγομεν. Πῶς φής; ἦ τοῦ ψευδοῦς κανόνος ἅμα καὶ τοῦ κύκλου τὴν οὐ βέβαιον οὐδὲ καθαρὰν τέχνην ἐμβλητέον κοινῇ, καὶ ξυγκρατέον; Ἀναγκαῖον γάρ, εἰ μέλλει τὶς ἡμῶν καὶ τὴν ὁδὸν ἑκάστοτε ἐξευρήσειν οἴκαδε. Ἦ καὶ μουσικήν, ἣν ὀλίγον ἔμπροσθεν ἔφαμεν, στοχάσεώς τε καὶ μιμήσεως μεστὴν οὖσαν, καθαρότητος ἐνδεῖν; Ἀναγκαῖον φαίνεται ἔμοι γε, εἴπερ γε ἡμῶν ὁ βίος ἔσται καὶ ὁπωσοῦν ποτὲ βίος. Βούλει δῆτα, ὥσπερ θυρωρὸς ὑπ' ὄχλου τινὸς ὠθούμενος καὶ βιαζόμενος, ἡττηθεὶς, ἀναπετάσας τὰς θύρας, ἀφῶ πάσας τὰς ἐπιστήμας εἰσρεῖν, καὶ μίγνυσθαι ὁμοῦ καθαρᾷ τὴν ἐνδεεστέραν; Οὔκουν ἔγωγε οἶδα, ὅ τι τὶς ἂν βλάπτοιτο πάσας λαβὼν τὰς ἄλλας ἐπιστήμας, ἔχων τὰς πρώτας. Μεθίω δὴ τὰς ξυμπάσας ῥεῖν εἰς τὴν τῆς Ὁμήρου καὶ μάλα ποιητικῆς μισγαγκείας ὑποδοχήν.

Καὶ πάλιν ἐπὶ τὴν τῶν ἡδονῶν πηγὴν ἰτέον· ὡς γὰρ διενοήθημεν αὐτὰς μιγνύναι, τὰ τῶν ἀληθῶν μόρια πρῶτον, οὐκ ἐξεγενήθη ἡμῖν· ἀλλὰ διὰ τὸ πᾶσαν ἀγαπᾶν ἐπιστήμην, εἰς ταυτὸν μεθεῖμεν ἀθρόας, καὶ πρόσθεν τῶν ἡδονῶν. Ὥρα δὴ βουλεύεσθαι νῶϊν καὶ περὶ τῶν ἡδονῶν,

πότερα καὶ ταύτας πάσας ἀθρόας ἀφετέον, ἢ καὶ τούτων πρώτας μεθετέον ἡμῖν, ὅσαι ἀληθεῖς. Πολύ γε διαφέρει πρός γε ἀσφάλειαν, πρώτας τὰς ἀληθεῖς ἀφεῖναι. Μεθείσθων δή. Τί δὲ μετὰ ταῦτα; ἆρ᾽ οὐκ, εἰ μέν τινες ἀναγκαῖαι, καθάπερ ἐκεῖ, ξυμμικτέον καὶ ταύτας; Τί δ᾽ οὔ; τάς γε ἀναγκαίας δήπουθεν. Εἰ δέ γε καὶ, καθάπερ τὰς τέχνας πάσας ἀβλαβές τε καὶ ὠφέλιμον ἦν ἐπίστασθαι διὰ βίου, καὶ νῦν δὴ ταυτὰ λέγωμεν περὶ τῶν ἡδονῶν; εἴπερ πάσας ἡδονὰς ἥδεσθαι διὰ βίου ξυμφέρον τε ἡμῖν ἐστὶ καὶ ἀβλαβὲς ἅπασι, πάσας ξυγκρατέον. Πῶς οὖν δὴ περὶ αὐτῶν τούτων λέγωμεν; καὶ πῶς ποιῶμεν; Οὐχ ἡμᾶς διερωτᾷν χρὴ, τὰς ἡδονὰς δὲ αὐτὰς καὶ τὰς φρονήσεις, διαπυνθανομένους τὸ τοιόνδε ἀλλήλων πέρι·

Ὦ φίλαι, εἴτε ἡδονὰς ὑμᾶς χρὴ προσαγορεύειν, εἴτε ἄλλῳ ὁτῳοῦν ὀνόματι, μῶν οὐκ ἂν δέξαισθε οἰκεῖν μετὰ φρονήσεως πάσης, ἢ χωρὶς τοῦ φρονεῖν;

Οἶμαι μὲν πρὸς ταῦτα τόδ᾽ αὐτὰς ἀναγκαιότατον εἶναι λέγειν, ὅτι· Τὸ μόνον καὶ ἔρημον εἰλικρινὲς εἶναί τι γένος, οὔτε πάνυ τι δυνατὸν, οὔτ᾽ ὠφέλιμον. Πάντων γε μὴν ἡγούμεθα γενῶν ἄριστον ἓν ἀνθ᾽ ἑνὸς ξυνοικεῖν ἡμῖν, τὸ τοῦ γιγνώσκειν τὰ ἄλλα τε πάντα, καὶ αὖ τὴν αὐτὴν ἡμῶν τελέως εἰς δύναμιν ἑκάστην.

Πάλιν τοίνυν μετὰ τοῦτο τὴν φρόνησιν καὶ τὸν νοῦν ἀνερωτητέον· Ἆρ᾽ ἡδονῶν τι προσδεῖσθε ἐν τῇ ξυγκράσει; Φαῖμεν ἄν. Αὖ τὸν νοῦν τε καὶ τὴν φρόνησιν ἀνερωτῶντες, ποίων φαῖμεν ἂν ἴσως ἡδονῶν. Ὁ δέ γ᾽ ἡμέτερος λόγος μετὰ τοῦτ᾽ ἐστὶν ὅδε· Πρὸς ταῖς ἀληθέσιν ἐκείναις ἡδοναῖς, φήσομεν, ἆρ᾽ ἔτι ποσδεῖσθ᾽ ὑμῖν τὰς μεγίστας ἡδονὰς ξυνοίκους εἶναι καὶ τὰς σφοδροτάτας; Καί· Πῶς, ὦ Σώκρατες, ἴσως φαῖεν ἄν; αἵ γ᾽ ἐμποδίσματά τε μυρία ἡμῖν ἔχουσι, τὰς ψυχὰς ἐν αἷς οἰκοῦμεν ταράττουσαι διὰ μανικὰς ἡδονὰς, καὶ γίγνεσθαί τε ἡμᾶς τὴν ἀρχὴν οὐκ ἐῶσι, τά τε γιγνόμενα ἡμῶν τέκνα, ὡςτοπολὺ δι᾽ ἀμέλειαν λήθην ἐμποιοῦσαι, παντάπασι διαφθείρουσιν;

Ἄλλας τε ἡδονὰς, ἀληθεῖς καὶ καθαρὰς, ἃς εἶπες σχεδὸν, οἰκείας ἡμῖν νόμιζε, καὶ πρὸς ταύταις, τὰς μεθ' ὑγιείας καὶ τοῦ σωφρονεῖν καὶ δὴ καὶ ξυμπάσης ἀρετῆς, ὁπόσαι, καθάπερ θεοῦ ὀπαδοὶ γιγνόμεναι, αὐτῇ ξυνακολουθοῦσι πάντη, ταύτας μιγνύς· τὰς δ' ἀεὶ μετ' ἀφροσύνης, καὶ τῆς ἄλλης κακίας ἑπομένας, πολλή που ἀλογία τῷ νῷ μιγνύναι τὸν βουλόμενον, ὅτι καλλίστην ἰδόντα καὶ ἀστασιαστοτάτην μίξιν καὶ κρᾶσιν, μαθεῖν ἐν ταύτῃ πειρᾶσθαι, τί ποτε ἔν τε ἀνθρώπῳ καὶ τῷ παντὶ πέφυκεν ἀγαθὸν, καὶ τίνα ἰδέαν αὐτὴν εἶναί ποτε μαντευτέον.

Ἆρ' οὐκ ἐμφρόνως ταῦτα καὶ ἐχόντως ἑαυτὸν τὸν νοῦν φήσομεν, ὑπέρ τε ἑαυτοῦ, καὶ μνήμης, καὶ δόξης ὀρθῆς, ἀποκρίνασθαι τὰ νῦν ῥηθέντα; Ἀλλὰ μὴν καὶ τόδε γε ἀναγκαῖον, καὶ οὐκ ἄλλως ἄν ποτε γένοιτο οὐδ' ἂν ἕν· τὸ ποῖον; Ὧ μὴ μίξωμεν ἀλήθειαν, οὐκ ἄν ποτε τοῦτο ἀληθῶς γίγνοιτο, οὐδ' ἂν γενόμενον εἴη. Πῶς γὰρ ἄν; Οὐδαμῶς.

Ἀλλ' εἴ τινος ἔτι προσδεῖ τῇ ξυγκράσει ταύτῃ, λέγε σύ· ἐμοὶ μὲν γὰρ, καθαπερεὶ κόσμος τις ἀσώματος ἄρξων καλῶς ἐμψύχου σώματος, ὁ νῦν λόγος ἀπειργάσθαι φαίνεται. Ἆρ' οὖν ἐπὶ μὲν τοῖς τοῦ ἀγαθοῦ νῦν ἤδη προθύροις καὶ τῆς οἰκήσεως ἐφεστάναι τῆς τοῦ τοιούτου λέγοντες, ἴσως ὀρθὸν ἄν τινα τρόπον φαῖμεν; Τί δῆτα ἐν τῇ ξυμμίξει τιμιώτατον ἅμα, καὶ μάλιστ' αἴτιον εἶναι δόξειεν ἂν ἡμῖν τοῦ πᾶσι γεγονέναι προσφιλῆ τὴν τοιαύτην διάθεσιν; Τοῦτο γὰρ ἰδόντες, μετὰ τοῦτ' ἐπισκεψώμεθα, εἴθ' ἡδονῇ, εἴτε νῷ προσφυές τε καὶ οἰκειότερον ἐν τῷ παντὶ ξυνέστηκεν· τοῦτο γὰρ εἰς τὴν κρίσιν ἡμῖν ἐστὶ ξυμφορώτατον. Καὶ μὴν ξυμπάσης γε μίξεως οὐ χαλεπὸν ἰδεῖν τὴν αἰτίαν, δι' ἣν ἢ παντὸς ἀξία γίγνεται ἡτισοῦν, ἢ τοπαράπαν οὐδένος· οὐδείς που τοῦτο ἀνθρώπων ἀγνοεῖ· ὅτι μέτρου καὶ τῆς ξυμμέτρου φύσεως μὴ τυχοῦσα ἡτισοῦν καὶ ὁπωσοῦν ξύγκρασις πᾶσα, ἐξ ἀνάγκης ἀπόλλυσι τά τε κεραννύμενα καὶ πρώτην ἑαυτήν. Οὐδὲ γὰρ κρᾶσις, ἀλλά

τις ἄκρατος ξυμπεφορημένη ἀληθῶς ἡ τοιαύτη γίγνεται ἑκάστοτε ὄντως τοῖς κεκτημένοις ξυμφορά.

Νῦν δὴ καταπέφευγεν ἡμᾶς ἡ τἀγαθοῦ δύναμις εἰς τὴν τοῦ καλοῦ φύσιν· μετριότης γὰρ καὶ ξυμμετρία, κάλλος δήπου καὶ ἀρετὴ πανταχοῦ ξυμβαίνει γίγνεσθαι. Καὶ μὴν ἀλήθειάν γε ἔφαμεν αὐτοῖς ἐν τῇ κράσει μεμίχθαι· οὐκοῦν, εἰ μὴ μιᾷ δυνάμεθα ἰδέᾳ τὸ ἀγαθὸν θηρεῦσαι, ξὺν τρισὶ λαβόντες, κάλλει καὶ ξυμμετρίᾳ καὶ ἀληθείᾳ, λέγωμεν ὡς τοῦτο οἷον ἓν ὀρθότατ' ἂν αἰτιασαίμεθ' ἂν τῶν ἐν τῇ ξυμμίξει, καὶ διὰ τοῦτο, ὡς ἀγαθὸν ὄν, τοιαύτην αὐτὴν γεγονέναι.

Ἤδη τοίνυν ἱκανὸς ἡμῖν γένοιτ' ἂν ὁςτιςοῦν κριτὴς ἡδονῆς τε πέρι καὶ φρονήσεως, ὁπότερον αὐτοῖν τοῦ ἀρίστου ξυγγενέστερόν τε καὶ τιμιώτερον ἐν ἀνθρώποις τέ ἐστι καὶ θεοῖς. Δῆλον μέν· ὅμως δ' αὖ τῷ λόγῳ ἐπεξελθεῖν βέλτιον. Καθ' ἓν ἕκαστον τοίνυν τῶν τριῶν πρὸς τὴν ἡδονὴν καὶ τὸν νοῦν κρίνωμεν· δεῖ γὰρ ἰδεῖν, ποτέρῳ μᾶλλον ξυγγενὲς ἕκαστον αὐτῶν ἀπονεμοῦμεν. Πρῶτον δέ γε ἀληθείας λαβοῦ· καὶ λαβόμενος, βλέψας εἰς τρία, νοῦν καὶ ἀλήθειαν καὶ ἡδονὴν, πολὺν ἐπισχὼν χρόνον, ἀπόκριναι σαυτῷ, πότερον ἡδονὴ ξυγγενέστερον, ἢ νοῦς, ἀληθείᾳ. Τί δὲ χρόνου δεῖ; πολὺ γὰρ, οἶμαι, διαφέρετον. Ἡδονὴ μὲν γὰρ ἁπάντων ἀλαζονέστατον· ὡς δὲ λόγος, καὶ ἐν ταῖς ἡδοναῖς καὶ τὸ ἐπιορκεῖν ξυγγνώμην εἴληφε παρὰ θεῶν, ὡς, καθάπερ παίδων, τῶν ἡδονῶν νοῦν οὐδὲ τὸν ὀλίγιστον κεκτημένων. Νοῦς δὲ ἤτοι ταυτὸν καὶ ἀλήθειά ἐστιν, ἢ πάντων ὁμοιότατόν τε καὶ ἀληθέστατον. Οὐκοῦν τὸ μετὰ τοῦτο τὴν μετριότητα ὡς οὕτως σκέψαι, πότερον ἡδονὴ φρονήσεως, ἢ φρόνησις ἡδονῆς πλείω κέκτηται; — Εὔσκεπτόν γε καὶ ταύτην σκέψιν προβέβληκας· οἶμαι γὰρ ἡδονῆς μὲν καὶ περιχαρείας οὐδὲν τῶν ὄντων πεφυκὸς ἀμετρότερον εὑρεῖν ἄν τινα, νοῦ δὲ καὶ ἐπιστήμης ἐμμετρότερον οὐδ' ἂν ἕν ποτε. — Ὅμως δ' ἔτι λέγε τὸ τρίτον· νοῦς ἡμῖν κάλλους μετείληφε πλεῖον, ἢ τὸ τῆς ἡδο-

νῆς γένος, ὥστε εἶναι καλλίω νοῦν ἡδονῆς, ἢ τοὐναντίον; Ἆρ' οὖν φρόνησιν μὲν καὶ νοῦν οὐδεὶς πώποτε οὔθ' ὕπαρ, οὔτ' ὄναρ, αἰσχρὸν οὔτε εἶδεν οὔτε ἐπενόησεν οὐδαμῇ οὐδαμῶς, οὔτε γιγνόμενον, οὔτε ὄντα, οὔτε ἐσόμενον; Ἡδονὰς δέ γέ που, καὶ ταύτας σχεδὸν τὰς μεγίστας, ὅταν ἴδωμεν ἡδόμενον ὁντινοῦν, ἢ τὸ γελοῖον ἐπ' αὐταῖς, ἢ τὸ πάντων αἴσχιστον ἑπόμενον ὁρῶντες, αὐτοί τε αἰσχυνόμεθα, καὶ ἀφανίζοντες κρύπτομεν ὅτι μάλιστα, νυκτὶ πάντα τὰ τοιαῦτα διδόντες, ὡς φῶς οὐ δέον ὁρᾷν αὐτά.

Πάντη δὴ φήσεις ὑπό τε ἀγγέλων πέμπων καὶ παροῦσι φράζων, ὡς ἡδονὴ κτῆμα οὐκ ἔστι πρῶτον, οὐδ' αὖ δεύτερον· ἀλλὰ πρῶτον μέν πη περὶ μέτρον καὶ τὸ μέτριον καὶ καίριον, καὶ πάντα ὁπόσα τοιαῦτα χρὴ νομίζειν τὴν ἀΐδιον εἰρῆσθαι φύσιν· δεύτερον μὴν περὶ τὸ ξύμμετρον καὶ καλὸν καὶ τὸ τέλεον καὶ ἱκανὸν, καὶ πάνθ' ὁπόσα τῆς γενεᾶς ταύτης αὖ ἐστί· τὸ τοίνυν τρίτον, ὡς ἡ ἐμὴ μαντεία, νοῦν καὶ φρόνησιν τιθεὶς, οὐκ ἂν μέγα τι τῆς ἀληθείας παρεξέλθοις· ἆρ' οὖν οὐ τέταρτα, ἃ τῆς ψυχῆς ἔθεμεν αὐτῆς, ἐπιστήμας τε καὶ τέχνας καὶ δόξας ὀρθὰς λεχθείσας, ταῦτ' εἶναι τὰ πρὸς τοῖς τρισὶ τέταρτα; εἴπερ τοῦ ἀγαθοῦ γέ ἐστι μᾶλλον, ἢ τῆς ἡδονῆς ξυγγενῆ· πέμπτας τοίνυν, ἃς ἡδονὰς ἔθεμεν, ἀλύπους ὁρισάμενοι, καθαρὰς ἐπονομάσαντες τῆς ψυχῆς αὐτῆς ἐπιστήμας, ταῖς δὲ αἰσθήσεσιν ἑπομένας·

Ἕκτῃ δ' ἐν γενεᾷ (φησὶν Ὀρφεὺς) καταπαύσατε κόσμον ἀοιδῆς.

PHILEBUS.

GYGES ET ANNULUS.

Εἶναι μέν φασι τὸν Γύγην, τοῦ Λυδοῦ πρόγονον, ποιμένα θητεύοντα παρὰ τῷ τότε Λυδίας ἄρχοντι· ὄμβρου δὲ πολλοῦ γενομένου καὶ σεισμοῦ, ῥαγῆναί τι τῆς γῆς, καὶ γενέσθαι χάσμα κατὰ τὸν τόπον, ᾗ ἔνεμεν· ἰδόντα δὲ καὶ θαυμάσαντα, καταβῆναι, καὶ ἰδεῖν ἄλλα τε δὴ ἃ μυθολογοῦσι θαυμαστὰ, καὶ ἵππον χαλκοῦν κοῖλον, θυρίδας ἔχοντα· καθ᾽ ἃς ἐγκύψαντα, ἰδεῖν ἐνόντα νεκρὸν, ὡς φαίνεσθαι, μείζω ἢ κατ᾽ ἄνθρωπον· τοῦτον δὲ ἄλλο μὲν οὐδὲν, περὶ δὲ τῇ χειρὶ χρυσοῦν δακτύλιον φέρειν, ὃν περιελόμενον ἐκβῆναι· ξυλλόγου δὲ γενομένου τοῖς ποιμέσιν εἰωθότος, ἵν᾽ ἐξαγγέλλοιεν κατὰ μῆνα τῷ βασιλεῖ τὰ περὶ τὰ ποίμνια, ἀφικέσθαι καὶ ἐκεῖνον, ἔχοντα τὸν δακτύλιον· καθήμενον οὖν μετὰ τῶν ἄλλων, τυχεῖν τὴν σφενδόνην τοῦ δακτυλίου περιαγαγόντα πρὸς ἑαυτὸν εἰς τὸ εἴσω τῆς χειρός· τούτου δὲ γενομένου, ἀφανῆ αὐτὸν γενέσθαι τοῖς παρακαθημένοις, καὶ διαλέγεσθαι ὡς περὶ οἰχομένου· καὶ τὸν θαυμάζειν τε, καὶ πάλιν ἐπιψηλαφῶντα τὸν δακτύλιον, στρέψαι ἔξω τὴν σφενδόνην· καὶ στρέψαντα, φανερὸν γενέσθαι· καὶ τοῦτο ἐννοήσαντα, ἀποπειρᾶσθαι τοῦ δακτυλίου, εἰ ταύτην ἔχει τὴν δύναμιν, καὶ αὐτῷ οὕτω ξυμβαίνειν, στρέφοντι μὲν εἴσω τὴν σφενδόνην, ἀδήλῳ γίγνεσθαι, ἔξω δὲ, δήλῳ· αἰσθόμενον δὲ, εὐθὺς διαπράξασθαι τῶν ἀγγέλων γενέσθαι τῶν περὶ τὸν βασιλέα· ἐλθόντα δὲ, καὶ τὴν γυναῖκα αὐτοῦ μοιχεύσαντα, μετ᾽ ἐκείνης ἐπιθέμενον τῷ βασιλεῖ, ἀποκτεῖναι, καὶ τὴν ἀρχὴν κατασχεῖν.

Εἰ οὖν δύο τοιούτω δακτυλίω γενοίσθην, καὶ τὸν μὲν ὁ δίκαιος περιθεῖτο, τὸν δὲ ὁ ἄδικος, οὐδεὶς ἂν γένοιτο,

ὡς δόξειεν, οὕτως ἀδαμάντινος, ὃς ἂν μείνειεν ἐν τῇ δικαιοσύνῃ, καὶ τολμήσειεν ἀπέχεσθαι τῶν ἀλλοτρίων καὶ μὴ ἅπτεσθαι· ἐξὸν αὐτῷ καὶ ἐκ τῆς ἀγορᾶς ἀδεῶς ὅ τι βούλοιτο λαμβάνειν, καὶ εἰσιόντι εἰς τὰς οἰκίας ξυγγίγνεσθαι ὅτῳ βούλοιτο, καὶ ἀποκτιννύναι καὶ ἐκ δεσμῶν λύειν οὕς τινας βούλοιτο, καὶ τἄλλα πράττειν, ἐν τοῖς ἀνθρώποις ἰσόθεον ὄντα. Οὕτω δὲ δρῶν, οὐδὲν ἂν διάφορον τοῦ ἑτέρου ποιοῖ, ἀλλ' ἐπὶ ταυτὸν ἴοιεν ἀμφότεροι· καίτοι μέγα τοῦτο τεκμήριον ἂν φαίη τὶς, ὅτι οὐδεὶς ἑκὼν δίκαιος, ἀλλ' ἀναγκαζόμενος, ὡς οὐκ ἀγαθοῦ ἰδίᾳ ὄντος, ἐπεὶ, ὅπου γ' ἂν οἴηται ἕκαστος οἷός τ' ἔσεσθαι ἀδικεῖν, ἀδικεῖ. Λυσιτελεῖν γὰρ δὴ οἴεται πᾶς ἀνὴρ πολὺ μᾶλλον ἰδίᾳ τὴν ἀδικίαν τῆς δικαιοσύνης, ἀληθῆ οἰόμενος, ὥς φησιν ὁ περὶ τοῦ τοιούτου λόγου λέγων· ἐπεὶ, εἴ τις τοιαύτης ἐξουσίας ἐπιλαβόμενος μηδέν ποτε ἐθέλοι ἀδικῆσαι, μηδὲ ἅψαιτο τῶν ἀλλοτρίων, ἀθλιώτατος μὲν ἂν δόξειεν εἶναι τοῖς αἰσθανομένοις καὶ ἀνοητότατος· ἐπαινοῖεν δ' ἂν αὐτὸν ἀλλήλων ἐναντίον, ἐξαπατῶντες ἀλλήλους, διὰ τὸν τοῦ ἀδικεῖσθαι φόβον.

Ταῦτα μὲν δὴ οὕτω· τὴν δὲ κρίσιν αὐτοῖν τοῦ βίου περὶ ὧν λέγομεν, ἐὰν διαστησώμεθα τόν τε δικαιότατον καὶ τὸν ἀδικώτατον, οἷοί τ' ἐσόμεθα κρῖναι ὀρθῶς· εἰ δὲ μὴ, οὔ. Τίς οὖν δὴ ἡ διάστασις ἥδε; μηδὲν ἀφαιρῶμεν μήτε τοῦ ἀδίκου ἀπὸ τῆς ἀδικίας, μήτε τοῦ δικαίου ἀπὸ τῆς δικαιοσύνης, ἀλλὰ τέλεον ἑκάτερον εἰς τὸ ἑαυτοῦ ἐπιτήδευμα τιθῶμεν.

Πρῶτον μὲν οὖν ὁ ἄδικος, ὥσπερ οἱ δεινοὶ δημιουργοὶ, ποιείτω· οἷον κυβερνήτης ἄκρος ἢ ἰατρὸς τά τε ἀδύνατα ἐν τῇ τέχνῃ καὶ τὰ δυνατὰ διαισθάνεται, καὶ τοῖς μὲν ἐπιχειρεῖ, τὰ δὲ ἐᾷ, ἔτι δὲ, ἐὰν ἄρα πῃ σφαλῇ, ἱκανὸς ἐπανορθοῦσθαι· οὕτω καὶ ὁ ἄδικος ἐπιχειρῶν ὀρθῶς τοῖς ἀδικήμασι λανθανέτω, εἰ μέλλει σφόδρα ἄδικος εἶναι· τὸν ἁλισκόμενον δὲ, φαῦλον ἡγητέον· ἐσχάτη γὰρ ἀδικία, δοκεῖν δίκαιον εἶναι, μὴ ὄντα. Δοτέον οὖν τῷ τελέως

ἀδίκῳ τὴν τελεωτάτην ἀδικίαν, καὶ οὐκ ἀφαιρετέον· ἀλλ᾽ ἐατέον τὰ μέγιστα ἀδικοῦντα τὴν μεγίστην δόξαν αὐτῷ παρεσκευακέναι εἰς δικαιοσύνην, καὶ, ἐὰν ἄρα σφαλῇ καί τι, ἐπανορθοῦσθαι δυνατῷ εἶναι, λέγειν τε ἱκανῷ ὄντι πρὸς τὸ πείθειν, ἐάν τι μηνύηται τῶν ἀδικημάτων, καὶ βιάσασθαι ὅσα ἂν βίας δεήσεται, διά τε ἀνδρείαν καὶ ῥώμην, καὶ διὰ παρασκευὴν φίλων καὶ οὐσίας.

Τοῦτον δὲ τοιοῦτον θέντες, τὸν δίκαιον παρ᾽ αὐτὸν ἱστῶμεν τῷ λόγῳ, ἄνδρα ἁπλοῦν καὶ γενναῖον, κατ᾽ Αἰσχύλον, οὐ δοκεῖν, ἀλλ᾽ εἶναι ἀγαθὸν ἐθέλοντα. Ἀφαιρετέον δὴ τὸ δοκεῖν· εἰ γὰρ δόξει δίκαιος εἶναι, ἔσονται αὐτῷ τιμαὶ καὶ δωρεαὶ, δοκοῦντι τοιούτῳ εἶναι· ἄδηλον οὖν, εἴτε τοῦ δικαίου, εἴτε τῶν δωρεῶν τε καὶ τιμῶν ἕνεκα τοιοῦτος εἴη. Γυμνωτέος δὴ πάντων πλὴν δικαιοσύνης, καὶ ποιητέος ἐναντίως διακείμενος τῷ προτέρῳ· μηδὲν γὰρ ἀδικῶν, δόξαν ἐχέτω τὴν μεγίστην ἀδικίας, ἵν᾽ ᾖ βεβασανισμένος εἰς δικαιοσύνην, τῷ μὴ τέγγεσθαι ὑπὸ κακοδοξίας, καὶ τῶν ὑπ᾽ αὐτῆς γιγνομένων. Ἀλλ᾽ ἴτω ἀμετάστατος μέχρι θανάτου, δοκῶν μὲν εἶναι ἄδικος διὰ βίου, ὢν δὲ δίκαιος...... Ἐρῶ δὲ καὶ τάδε· ὅτι οὕτω διακείμενος ὁ δίκαιος μαστιγώσεται, στρεβλώσεται, δεδήσεται, ἐκκαυθήσεται τὼ ὀφθαλμώ· τελευτῶν, πάντα κακὰ παθὼν, ἀνασχινδυλευθήσεται.

Ἵν᾽ ἀμφότεροι εἰς τὸ ἔσχατον ἐληλυθότες, ὁ μὲν δικαιοσύνης, ὁ δὲ ἀδικίας, κρίνωνται ὁπότερος αὐτοῖν εὐδαιμονέστερος.

De Republica, ii.

ALCIBIADES, SOCRATES.

῞Εκαστος τῶν μισθαρνούντων ἰδιωτῶν, οὓς δὴ οὗτοι σοφιστὰς καλοῦσι καὶ ἀντιτέχνους ἡγοῦνται, μὴ ἄλλα παιδεύει, ἢ ταῦτα τὰ τῶν πολλῶν δόγματα, ἃ δοξάζουσιν ὅταν ἀθροισθῶσι, καὶ σοφίαν ταύτην καλεῖ. Οἷόν περ ἂν εἰ θρέμματος μεγάλου καὶ ἰσχυροῦ τρεφομένου τὰς ὀργάς τις καὶ ἐπιθυμίας κατεμάνθανεν, ὅπῃ τε προσελθεῖν χρὴ, καὶ ὅπῃ ἅψασθαι αὐτοῦ, καὶ ὁπότε χαλεπώτατον ἢ πρᾳότατον καὶ ἐκ τίνων γίγνεται, καὶ φωνὰς δὴ ἐφ' οἷς ἕκαστος εἴωθε φθέγγεσθαι, καὶ οἵαις αὖ ἄλλου φθεγγομένου ἡμεροῦταί τε καὶ ἀγριαίνει· καταμαθὼν δὲ ταῦτα πάντα ξυνουσίᾳ τε καὶ χρόνου τριβῇ, σοφίαν τε καλέσειε, καὶ, ὡς τέχνην ξυστησάμενος, ἐπὶ διδασκαλίαν τρέποιτο· μηδὲν εἰδὼς τῇ ἀληθείᾳ τούτων τῶν δογμάτων τε καὶ ἐπιθυμιῶν ὅ τι καλὸν ἢ αἰσχρὸν, ἢ ἀγαθὸν ἢ κακὸν, ἢ δίκαιον ἢ ἄδικον· ὀνομάζοι δὲ πάντα ταῦτα ἐπὶ ταῖς τοῦ μεγάλου ζώου δόξαις, οἷς μὲν χαίροι ἐκεῖνο, ἀγαθὰ καλῶν, οἷς δὲ ἄχθοιτο, κακὰ, ἄλλον δὲ μηδένα ἔχοι λόγον περὶ αὐτῶν· ἀλλὰ τἀναγκαῖα δίκαια καλοῖ καὶ καλὰ, τὴν δὲ τοῦ ἀναγκαίου καὶ ἀγαθοῦ φύσιν, ὅσον διαφέρει τῷ ὄντι, μήτε ἑωρακὼς εἴη, μήτε ἄλλῳ δυνατὸς δεῖξαι. Τοιοῦτος δὴ ὢν, πρὸς Διὸς, οὐκ ἄτοπος ἂν σοι δοκῇ εἶναι παιδευτής; Ἦ οὖν τὶ τούτου δοκεῖ διαφέρειν ὁ τὴν τῶν πολλῶν καὶ παντοδαπῶν ξυνιόντων ὀργὴν καὶ ἡδονὰς κατανενοηκέναι, σοφίαν ἡγούμενος, εἴτ' ἐν γραφικῇ, εἴτ' ἐν μουσικῇ, εἴτε δὴ ἐν πολιτικῇ; ὅτι μὲν γὰρ, ἐάν τις τούτοις ὁμιλῇ, ἐπιδεικνύμενος ἢ ποίησιν ἤ τινα ἄλλην δημιουργίαν ἢ πόλει διακονίαν, κυρίους αὐτοῦ ποιῶν τοὺς πολλοὺς, πέρα τῶν ἀναγκαίων ἡ Διομηδεία λεγομένη

ἀνάγκη ποιεῖν αὐτῷ πάντα, ἃ ἂν οὗτοι ἐπαινῶσιν. Ὡς δὲ καὶ ἀγαθὰ καὶ καλὰ ταῦτα τῇ ἀληθείᾳ, ἤδη πώποτέ του ἤκουσας αὐτῶν λόγον διδόντος οὐ καταγέλαστον;

Ταῦτα τοίνυν πάντα ἐννοήσας, ἐκεῖνο ἀναμνήσθητι· αὐτὸ τὸ καλὸν, ἀλλὰ μὴ τὰ πολλὰ καλὰ, ἢ αὐτό τι ἕκαστον, καὶ μὴ τὰ πολλὰ ἕκαστα, ἔσθ' ὅπως πλῆθος ἀνέξεται, ἢ ἡγήσεται εἶναι; Φιλόσοφον μὲν ἄρα πλῆθος ἀδύνατον εἶναι. Καὶ τοὺς φιλοσοφοῦντας ἄρα ἀνάγκη ψέγεσθαι ὑπ' αὐτῶν, καὶ ὑπὸ τούτων δὴ τῶν ἰδιωτῶν, ὅσοι, προσομιλοῦντες ὄχλῳ, ἀρέσκειν αὐτῷ ἐπιθυμοῦσιν. Ἐκ δὴ τούτων, τίνα ὁρᾷς σωτηρία φιλοσόφῳ φύσει, ὥστ' ἐν τῷ ἐπιτηδεύματι μείνασαν πρὸς τέλος ἐλθεῖν;

Ὡμολόγηται γὰρ δὴ ἡμῖν εὐμάθεια, καὶ μνήμη, καὶ ἀνδρία, καὶ μεγαλοπρέπεια ταύτης εἶναι τῆς φύσεως. Οὔκουν εὐθὺς ἐν πᾶσιν ὁ τοιοῦτος πρῶτος ἔσται ἐν ἅπασιν, ἄλλως τε καὶ ἐὰν τὸ σῶμα φυῇ προσφερὲς τῇ ψυχῇ; Βουλήσονται δὴ, οἶμαι, αὐτῷ χρῆσθαι, ἐπειδὰν πρεσβύτερος γένηται, ἐπὶ τὰ αὐτῶν πράγματα οἵ τε οἰκεῖοι καὶ οἱ πολῖται· ὑποκείσονται ἄρα δεόμενοι καὶ τιμῶντες, προκαταλαμβάνοντες καὶ προκολακεύοντες τὴν μέλλουσαν αὐτοῦ δύναμιν. Τί οὖν οἴει τὸν τοιοῦτον ἐν τοῖς τοιούτοις ποιήσειν, ἄλλως τε καὶ ἐὰν τύχῃ μεγάλης πόλεως ὢν, καὶ ἐν ταύτῃ πλούσιός τε καὶ γενναῖος, καὶ ἔτι εὐειδὴς καὶ μέγας; Ἆρ' οὐ πληρωθήσεσθαι ἀμηχάνου ἐλπίδος, ἡγούμενον καὶ τὰ τῶν Ἑλλήνων καὶ τὰ τῶν βαρβάρων ἱκανὸν ἔσεσθαι πράττειν; καὶ ἐπὶ τούτοις ὑψηλὸν ἐξαίρειν αὐτὸν, σχηματισμοῦ καὶ φρονήματος κενοῦ, ἄνευ νοῦ, ἐμπιπλάμενον;

Τῷ δὴ οὕτω διατιθεμένῳ ἐάν τις ἠρέμα προσελθὼν τἀληθῆ λέγῃ, ὅτι νοῦς οὐκ ἔνεστιν αὐτῷ, δεῖται δέ· τὸ δὲ οὐ κτητὸν μὴ δουλεύσαντι τῇ κτήσει αὐτοῦ· ἆρ' εὐπετὲς οἴει εἶναι εἰσακοῦσαι διὰ τοσούτων κακῶν;

Ἐὰν δ' οὖν, διὰ τὸ εὖ πεφυκέναι, καὶ τὸ ξυγγενὲς τῶν λόγων, εἷς αἰσθάνηταί πη, καὶ κάμπτηται, καὶ ἕλκηται

πρὸς φιλοσοφίαν, τί οἰόμεθα δράσειν ἐκείνους· τοὺς ἡγουμένους ἀπολλύναι αὐτοῦ τὴν χρείαν τε καὶ ἑταιρείαν; οὐ πᾶν μὲν ἔργον, πᾶν δ᾽ ἔπος λέγοντάς τε καὶ πράττοντας καὶ περὶ αὐτὸν, ὅπως ἂν μὴ πεισθῇ, καὶ περὶ τὸν πείθοντα, ὅπως ἂν μὴ οἷός τ᾽ ᾖ, καὶ ἰδίᾳ ἐπιβουλεύοντας, καὶ δημοσίᾳ εἰς ἀγῶνα καθιστάντας; Ἔστιν οὖν ὅπως ὁ τοιοῦτος φιλοσοφήσει; Ὁρᾷς οὖν ὅτι οὐ κακῶς ἐλέγομεν, ὡς ἄρα καὶ αὐτὰ τὰ τῆς φιλοσόφου φύσεως μέρη, ὅταν ἐν κακῇ τροφῇ γένηται, αἴτια τρόπον τινὰ τοῦ ἐκπεσεῖν ἐκ τοῦ ἐπιτηδεύματος, καὶ τὰ λεγόμενα ἀγαθὰ, πλοῦτοί τε καὶ πᾶσα ἡ τοιαύτη παρασκευή; Οὗτος δὴ ὄλεθρός τε καὶ διαφθορὰ τοσαύτη τε καὶ τοιαύτη τῆς βελτίστης φύσεως εἰς τὸ ἄριστον ἐπιτήδευμα, ὀλίγης καὶ ἄλλως γιγνομένης, ὡς ἡμεῖς φαμέν. Καὶ ἐκ τούτων δὴ τῶν ἀνδρῶν καὶ οἱ τὰ μέγιστα κακὰ ἐργαζόμενοι τὰς πόλεις γίγνονται καὶ τοὺς ἰδιώτας, καὶ οἱ τἀγαθὰ, οἳ ἂν ταύτῃ τύχωσι ῥυέντες· σμικρὰ δὲ φύσις οὐδὲν μέγα οὐδέποτε οὐδένα, οὔτε ἰδιώτην, οὔτε πόλιν δρᾷ.

Οὗτοι μὲν δὴ οὕτως ἐκπίπτοντες οἷς μάλιστα προσήκει, ἔρημον καὶ ἀτελῆ φιλοσοφίαν λιπόντες, αὐτοί τε βίον οὐ προσήκοντα οὐδ᾽ ἀληθῆ ζῶσι· τὴν δὲ, ὥσπερ ὀρφανὴν ξυγγενῶν, ἄλλοι ἐπεισελθόντες ἀνάξιοι ᾔσχυνάν τε, καὶ ὀνείδη περιῆψαν, οἷα καὶ σὺ φῂς ὀνειδίζειν τοὺς ὀνειδίζοντας, ὡς οἱ ξυνόντες αὐτῇ, οἱ μὲν οὐδενὸς, οἱ δὲ πολλοὶ πολλῶν κακῶν ἄξιοί εἰσι. Εἰκότως γε λεγόμενα· καθορῶντες γὰρ ἄλλοι ἀνθρωπίσκοι κενὴν τὴν χώραν ταύτην γιγνομένην, καλῶν δὲ ὀνομάτων καὶ προσχημάτων μεστὴν, ὥσπερ οἱ ἐκ τῶν εἱργμῶν εἰς τὰ ἱερὰ ἀποδιδράσκοντες, ἄσμενοι καὶ οὗτοι ἐκ τῶν τεχνῶν ἐκπηδῶσιν εἰς τὴν φιλοσοφίαν, οἳ ἂν κομψότατοι ὄντες τυγχάνωσι περὶ τὸ αὑτῶν τεχνίον. Ὅμως γὰρ δὴ πρός γε τὰς ἄλλας τέχνας καίπερ οὕτω πραττούσης φιλοσοφίας τὸ ἀξίωμα μεγαλοπρεπέστερον λείπεται· οὗ δὴ ἐφιέμενοι πολλοὶ, ἀτελεῖς μὲν τὰς φύσεις, ὑπὸ δὲ τῶν τεχνῶν τε καὶ δημιουρ-

γιῶν ὥσπερ τὰ σώματα λελώβηνται, οὕτω καὶ τὰς ψυχὰς ξυγκεκλασμένοι τε καὶ ἀποτεθρυμμένοι διὰ τὰς βαναυσίας τυγχάνουσιν· ἢ οὐκ ἀνάγκη; Δοκεῖς οὖν τὶ διαφέρειν αὐτοὺς ἰδεῖν ἀργύριον κτησαμένου χαλκέως, φαλακροῦ καὶ σμικροῦ, νεωστὶ μὲν ἐκ δεσμῶν λελυμένου, ἐν βαλανείῳ δὲ λελουμένου, νεουργὸν ἱμάτιον ἔχοντος, ὡς νυμφίου παρεσκευασμένου, διὰ πενίαν καὶ ἐρημίαν τοῦ δεσπότου τὴν θυγατέρα μέλλοντος γαμεῖν; Ποῖ' ἄττα οὖν εἰκὸς γεννᾷν τοὺς τοιούτους; οὐ νόθα καὶ φαῦλα; Τί δέ; τοὺς ἀναξίους παιδεύσεως, ὅταν αὐτοὶ πλησιάζοντες ὁμιλῶσι μὴ κατ' ἀξίαν, ποῖ' ἄττα φῶμεν γεννᾷν διανοήματά τε καὶ δόξας; ἆρ' οὐχ ὡς ἀληθῶς προσήκοντα ἀκοῦσαι σοφίσματα, καὶ οὐδὲν γνήσιον, οὐδὲ φρονήσεως ἄξιον ἀληθινῆς ἐχόμενον;

Πάνυ σμικρὸν δή τι λείπεται τῶν κατ' ἀξίαν ὁμιλούντων φιλοσοφίᾳ, ἤ που ὑπὸ φυγῆς καταληφθὲν γενναῖον καὶ εὖ τεθραμμένον ἦθος, ἀπορίᾳ τῶν διαφθερούντων κατὰ φύσιν μεῖναν ἐπ' αὐτῇ· ἢ ἐν σμικρᾷ πόλει ὅταν μεγάλη ψυχὴ φυῇ, καὶ ἀτιμάσασα τὰ τῆς πόλεως ὑπερίδῃ· βραχὺ δέ πού τι καὶ ἀπ' ἄλλης τέχνης δικαίως ἀτιμάσαν εὐφυὲς ἐπ' αὐτὴν ἂν ἔλθοι. Εἴη δ' ἂν καὶ ὁ τοῦ ἡμετέρου ἑταίρου Θεάγους χαλινὸς οἷος κατασχεῖν· καὶ γὰρ Θεάγει τὰ μὲν ἄλλα πάντα παρεσκεύασται πρὸς τὸ ἐκπεσεῖν φιλοσοφίας· ἡ δὲ τοῦ σώματος νοσοτροφία, ἀπείργουσα αὐτὸν τῶν πολιτικῶν, κατέχει. Τὸ δ' ἡμέτερον οὐκ ἄξιον λέγειν, τὸ δαιμόνιον σημεῖον· ἢ γάρ πού τινι ἄλλῳ, ἢ οὐδενὶ τῶν ἔμπροσθεν γέγονε.

Καὶ τούτων δὴ τῶν ὀλίγων οἱ γενόμενοι καὶ γευσάμενοι, ὡς ἡδὺ καὶ μακάριον τὸ κτῆμα, καὶ τῶν πολλῶν αὖ ἱκανῶς ἰδόντες τὴν μανίαν, καὶ ὅτι οὐδεὶς οὐδὲν ὑγιὲς, ὡς ἔπος εἰπεῖν, περὶ τὰ τῶν πόλεων πράττει, οὐδ' ἔστι ξύμμαχος, μεθ' ὅτου τὶς ἰὼν ἐπὶ τὴν τῶν δικαίων βοήθειαν σώζοιτ' ἄν· ἀλλ' ὥσπερ εἰς θηρία ἄνθρωπος ἐμπεσὼν, οὔτε ξυναδικεῖν ἐθέλων, οὔτε ἱκανὸς ὢν εἷς πᾶσιν ἀγρίοις ἀντέχειν, πρίν τι τὴν πόλιν ἢ φίλους ὀνῆσαι προαπολό-

μενος, ἀνωφελὴς αὐτῷ τε καὶ τοῖς ἄλλοις ἂν γένοιτο· ταῦτα πάντα λογισμῷ λαβὼν, ἡσυχίαν ἔχων καὶ τὰ αὑτοῦ πράττων, οἷον ἐν χειμῶνι κονιορτοῦ καὶ ζάλης ὑπὸ πνεύματος φερομένου, ὑπὸ τειχίον ὑποστὰς, ὁρῶν τοὺς ἄλλους καταπιμπλαμένους ἀνομίας, ἀγαπᾷ εἴ πη αὐτὸς καθαρὸς ἀδικίας τε καὶ ἀνοσίων ἔργων τόν τε ἐνθάδε βίον βιώσεται, καὶ τὴν ἀπαλλαγὴν αὐτοῦ μετὰ καλῆς ἐλπίδος ἵλεώς τε καὶ εὐμενὴς ἀπαλλάξεται.

De Republica, VI.

DE JUREJURANDO.

Ῥαδαμάνθυος περὶ τὴν λεγομένην κρίσιν τῶν δικῶν ἄξιον ἄγασθαι. Διότι κατεῖδε τοὺς τότε ἀνθρώπους ἡγουμένους ἐναργῶς εἶναι θεοὺς, εἰκότως, ἅτε κατὰ τὸν τότε χρόνον τῶν πολλῶν ἐκ θεῶν ὄντων, ὧν εἷς ἦν αὐτὸς, ὥς γε λόγος· ἔοικε δὴ δικαστῇ μὲν ἀνθρώπων οὐδενὶ διανοούμενος δεῖν ἐπιτρέπειν, θεοῖς δέ· ὅθεν ἁπλαῖ καὶ ταχεῖαι δίκαι ἐκρίνοντ' αὐτῷ. Διδοὺς γὰρ περὶ ἑκάστων τῶν ἀμφισβητουμένων ὅρκον τοῖς ἀμφισβητοῦσιν, ἀπηλλάττετο ταχὺ καὶ ἀσφαλῶς.

Νῦν δὲ δὴ, ὅτε μέρος τι φαμὲν ἀνθρώπων οἱ τοπαράπαν οὐχ ἡγοῦνται θεοὺς, οἱ δὲ οὐ φροντίζειν ἡμῶν αὐτοὺς διανοοῦνται· τῶν δὲ πλείστων ἐστὶ καὶ κακίστων ἡ δόξα, ὡς, σμικρὰ δεχόμενοι θύματα καὶ θωπείας πολλὰς, πολλὰ ξυναποστεροῦσι χρήματα, καὶ μεγάλων σφᾶς ἐκλύονται κατὰ πολλὰ ζημιῶν· οὐκέτι δὴ τοῖς νῦν ἀνθρώποις ἡ Ῥαδαμάνθυος ἂν εἴη πρέπουσα τέχνη ἐν δίκαις.

Μεταβεβληκυιῶν οὖν τῶν περὶ θεοὺς δοξῶν ἐν τοῖς ἀν-

θρώποις, μεταβάλλειν δεῖ καὶ τοὺς νόμους. Ἐν γὰρ λήξεσι δικῶν τοὺς μετὰ νοῦ τιθεμένους νόμους ἐξαιρεῖν δεῖ τοὺς ὅρκους τῶν ἀντιδικούντων ἑκατέρων· καὶ τὸν λαγχάνοντά τῳ τινα δίκην τὰ μὲν ἐγκλήματα γράφειν, ὅρκον δὲ μὴ ἐπομνύναι· καὶ τὸν φεύγοντα, κατὰ ταῦτα τὴν ἄρνησιν γράψαντα, παραδοῦναι τοῖς ἄρχουσιν ἀνώμοτον. Δεινὸν γάρ που, δικῶν γ' ἐν πόλει πολλῶν γενομένων, εὖ εἰδέναι, σμικροῦ δεῖν, τοὺς ἡμίσεις αὐτῶν ἐπιωρκηκότας ἐν ξυσσιτίοις τε ἀλλήλοις εὐχερῶς ξυγγιγνομένους, καὶ ἐν ἄλλαις ξυνουσίαις τε, καὶ ἰδιωτικαῖς ξυγγενήσεσιν ἑκάστων.

Νόμος δὴ κείσθω·

Δικαστὴν μὲν ὀμνύναι δικάζειν μέλλοντα· καὶ τὸν τὰς ἀρχὰς τῷ κοινῷ καθιστάντα δι' ὅρκων ἢ διὰ φορᾶς ψήφων, ἀφ' ἱερῶν φέροντα, δρᾷν ἀεὶ δεῖ τὸ τοιοῦτον· καὶ κριτὴν αὖ χορῶν καὶ πάσης μουσικῆς, καὶ γυμνικῶν τε καὶ ἱππικῶν ἄθλων ἐπιστάτας καὶ βραβέας· καὶ ἁπάντων ὁπόσα μὴ φέρῃ κέρδος κατὰ τὴν ἀνθρωπίνην δόξαν τῷ ἐπιορκοῦντι. Τῶν δὲ ὁπόσα ἐξαρνηθέντι καὶ ἐξομοσαμένῳ κέρδος μέγα φανερὸν εἶναι δοκεῖ, ταῦτα δὲ διὰ δικῶν, ὅρκων χωρὶς, κρίνεσθαι ξύμπαντας τοὺς ἐπικαλοῦντας ἀλλήλοις· καὶ τοπαράπαν ἐν δίκῃ τοὺς προέδρους μὴ ἐπιτρέπειν μήτε ὀμνύντι λέγειν πιθανότητος χάριν, μήτε ἐπαρώμενον ἑαυτῷ καὶ γένει, μήτε ἱκετείαις χρώμενον ἀσχήμοσι, μήτε οἴκτοις γυναικείοις· ἀλλὰ τὸ δίκαιον μετ' εὐφημίας διδάσκοντα καὶ μανθάνοντα ἀεὶ διατελεῖν· εἰ δὲ μὴ, καθάπερ ἔξω τοῦ λόγου λέγοντος, τοὺς ἄρχοντας πάλιν ἐπανάγειν εἰς τὸν περὶ τοῦ πράγματος ἀεὶ λόγον. Ξένῳ δ' εἶναι πρὸς ξένους, καθάπερ τανῦν, δέχεσθαί τε ὅρκους παρ' ἀλλήλων, ἂν ἐθέλωσι, καὶ διδόναι κυρίως· οὐ γὰρ καταγηράσουσιν, οὐδ' ἐννεοττεύοντες ἐν τῇ πόλει ὡςτοπολὺ, τοιούτους ἄλλους κυρίους τῆς χώρας παρέξονται ξυντρόφους. Δικῶν τε περὶ λήξεως τὸν αὐτὸν τρόπον εἶναι πρὸς ἀλλήλους πᾶσι τὴν κρίσιν, ὅσα τὶς

ἐλεύθερος ἀπειθεῖ τῇ πόλει μήτ' οὖν πληγῶν ἄξια, μηδ' αὖ δεσμῶν, μηδὲ θανάτου.

De Legibus, XII.

PHILOSOPHUS.

Οἱ φιλόσοφοι δήπου ἐκ νέων, πρῶτον μὲν εἰς ἀγορὰν οὐκ ἴσασι τὴν ὁδὸν, οὐδὲ ὅπου δικαστήριον, ἢ βουλευτήριον, ἤ τι κοινὸν ἄλλο τῆς πόλεως ξυνέδριον· νόμους δὲ καὶ ψηφίσματα λεγόμενα, ἢ γεγραμμένα, οὔτε ὁρῶσιν, οὔτε ἀκούουσι· σπουδαὶ δὲ ἑταιρειῶν ἐπ' ἀρχὰς, καὶ ξύνοδοι, καὶ δεῖπνα, καὶ ξὺν αὐλητρίσι κῶμοι, οὐδὲ ὄναρ πράττειν προσίσταται αὐτοῖς· εὖ δὲ ἢ κακῶς τί γέγονεν ἐν πόλει, ἤ τί τῳ κακόν ἐστιν ἐκ προγόνων γεγονὸς, ἢ πρὸς ἀνδρῶν ἢ γυναικῶν, μᾶλλον αὐτὸν λέληθεν, ἢ οἱ τῆς θαλάττης λεγόμενοι χόες. Καὶ ταῦτα πάντ' οὐδ' ὅτι οὐκ οἶδεν, οἶδεν· οὐδὲ γὰρ αὐτῶν ἀπέχεται τοῦ εὐδοκιμεῖν χάριν. Ἀλλὰ τῷ ὄντι τὸ σῶμα μόνον ἐν τῇ πόλει κεῖται αὐτοῦ, καὶ ἐπιδημεῖ· ἡ δὲ διάνοια, ταῦτα πάντα ἡγησαμένη σμικρὰ, καὶ οὐδὲν ἀτιμάσασα, πανταχῆ φέρεται, κατὰ Πίνδαρον, τά τε γᾶς ὑπένερθε καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, οὐρανοῦ τε ὕπερ ἀστρονομοῦσα, καὶ πᾶσαν πάντη φύσιν ἐρευνωμένη τῶν ὄντων ἑκάστου ὅλου, εἴς τι τῶν ἐγγὺς οὐδὲν αὐτὴν ξυγκαθιεῖσα.

Ὥσπερ καὶ Θαλῆν ἀστρονομοῦντα καὶ ἄνω βλέποντα, πεσόντα εἰς φρέαρ, Θρᾷττά τις ἐμμελὴς καὶ χαρίεσσα θεραπαινὶς ἀποσκῶψαι λέγεται, ὡς τὰ μὲν ἐν οὐρανῷ προθυμοῖτο εἰδέναι, τὰ δ' ἔμπροσθεν αὐτοῦ καὶ παρὰ πό-

δας λανθάνοι αὐτόν· ταυτὸν δὲ ἀρκεῖ σκῶμμα ἐπὶ πάντας ὅσοι ἐν φιλοσοφίᾳ διάγουσι. Τῷ γὰρ ὄντι τὸν τοιοῦτον ὁ μὲν πλησίον καὶ ὁ γείτων λέληθεν, οὐ μόνον ὅ τι πράττει, ἀλλ᾽ ὀλίγου καὶ εἰ ἄνθρωπός ἐστιν, ἤ τι ἄλλο θρέμμα· τί δέ ποτ᾽ ἐστὶν ἄνθρωπος, καὶ τί τῇ τοιαύτῃ φύσει προσήκει διάφορον τῶν ἄλλων ποιεῖν ἢ πάσχειν, ζητεῖ τε καὶ πράγματ᾽ ἔχει διερευνώμενος.

Τοιγάρτοι ἰδίᾳ τε ξυγγιγνόμενος ὁ τοιοῦτος ἑκάστῳ καὶ δημοσίᾳ, ὅπερ ἀρχόμενος ἔλεγον, ὅταν ἐν δικαστηρίῳ ἤπου ἄλλοθι ἀναγκασθῇ περὶ τῶν παρὰ πόδας καὶ τῶν ἐν ὀφθαλμοῖς διαλέγεσθαι, γέλωτα παρέχει οὐ μόνον Θρᾴτταις, ἀλλὰ καὶ τῷ ἄλλῳ ὄχλῳ, εἰς φρέατά τε καὶ πᾶσαν ἀπορίαν ἐμπίπτων ὑπὸ ἀπειρίας. Καὶ ἡ ἀσχημοσύνη δεινὴ, δόξαν ἀβελτερίας παρεχομένη. Ἔν τε γὰρ ταῖς λοιδορίαις ἴδιον ἔχει οὐδὲν οὐδένα λοιδορεῖν, ἅτ᾽ οὐκ εἰδὼς κακὸν οὐδὲν οὐδενὸς, ἐκ τοῦ μὴ ἐμμεμελετηκέναι· ἀπορῶν οὖν, γελοῖος φαίνεται. Ἔν τε τοῖς ἐπαίνοις καὶ ταῖς τῶν ἄλλων μεγαλαυχίαις, οὐ προσποιήτως, ἀλλὰ τῷ ὄντι γελῶν ἔνδηλος γιγνόμενος, ληρώδης δοκεῖ εἶναι. Τύραννόν τε γὰρ ἢ βασιλέα ἐγκωμιαζόμενον, ἕνα τῶν νομέων, οἷον συβώτην, ἢ ποιμένα, ἤ τινα βουκόλον ἡγεῖται ἀκούειν εὐδαιμονιζόμενον, πολὺ βδάλλοντα· δυσκολώτερον δὲ ἐκείνων ζῶον καὶ ἐπιβουλότερον ποιμαίνειν τε καὶ βδάλλειν νομίζει αὐτούς· ἄγροικον δὲ καὶ ἀπαίδευτον ὑπὸ ἀσχολίας οὐδὲν ἧττον τῶν νομέων τὸν τοιοῦτον ἀναγκαῖον γίγνεσθαι, σηκὸν ἐν ὄρει τὸ τεῖχος περιβεβλημένον. Γῆς δὲ ὅταν μυρία πλέθρα ἢ ἔτι πλείω ἀκούσῃ ὥς τις ἄρα κεκτημένος θαυμαστὰ πλήθει κέκτηται, πάνυ σμικρὰ δοκεῖ ἀκούειν, εἰς ἅπασαν εἰωθὼς τὴν γῆν βλέπειν.

Τὰ δὲ δὴ γένη ὑμνούντων, ὥς γενναῖός τις, ἑπτὰ πάππους πλουσίους ἔχων ἀποφῆναι, παντάπασιν ἀμβλὺ καὶ ἐπὶ σμικρὸν ὁρώντων ἡγεῖται τὸν ἔπαινον, ὑπὸ ἀπαιδευσίας οὐ δυναμένων εἰς τὸ πᾶν ἀεὶ βλέπειν, οὐδὲ λο-

γίζεσθαι ὅτι πάππων καὶ προγόνων μυριάδες ἑκάστῳ γεγόνασιν ἀναρίθμητοι, ἐν αἷς πλούσιοι καὶ πτωχοὶ, καὶ βασιλεῖς καὶ δοῦλοι, βάρβαροί τε καὶ Ἕλληνες πολλάκις μυρίοι γεγόνασιν ὁτῳοῦν. Ἀλλ' ἐπὶ πέντε καὶ εἴκοσι καταλόγῳ προγόνων σεμνυνομένων, καὶ ἀναφερόντων εἰς Ἡρακλέα τὸν Ἀμφιτρύωνος, ἄτοπα αὐτῷ καταφαίνεται τῆς σμικρολογίας· ὅτι δὲ ὁ ἀπ' Ἀμφιτρύωνος εἰς τὸ ἄνω πεντεκαιεικοστὸς τοιοῦτος ἦν, οἵα ξυνέβαινεν αὐτῷ τύχη, καὶ ὁ πεντηκοστὸς ἀπ' αὐτοῦ, γελᾷ· οὐ δυναμένων λογίζεσθαί τε καὶ χαυνότητα ἀνοήτου ψυχῆς ἀπαλλάττειν.

Ἐν ἅπασι δὴ τούτοις ὁ τοιοῦτος ὑπὸ τῶν πολλῶν καταγελᾶται, τὰ μὲν, ὑπερηφάνως ἔχων, ὡς δοκεῖ· τὰ δ', ἐν ποσὶν ἀγνοῶν τε καὶ ἐν ἑκάστοις ἀπορῶν.

Ὅταν δέ γε τινὰ αὐτὸς ἑλκύσῃ ἄνω, καὶ ἐθελήσῃ τὶς αὐτῷ ἐκβῆναι ἐκ τοῦ, Τί ἐγὼ σὲ ἀδικῶ, ἢ σὺ ἐμὲ, εἰς σκέψιν αὖ τῆς δικαιοσύνης τε καὶ ἀδικίας, τί τε ἑκάτερον αὐτοῖν καὶ τί τῶν πάντων ἢ ἀλλήλων διαφέρετον, ἢ ἐκ τοῦ, Εἰ βασιλεὺς εὐδαίμων, κεκτημένος τ' αὖ πολὺ χρυσίον, εἰς βασιλείας πέρι καὶ ἀνθρωπίνης ὅλως εὐδαιμονίας καὶ ἀθλιότητος ἐπίσκεψιν, ποίω τέ τινε ἐστὸν, καὶ τίνα τρόπον ἀνθρώπου φύσει προσήκει τὸ μὲν κτήσασθαι αὐτοῖν, τὸ δὲ ἀποφυγεῖν· περὶ τούτων ἁπάντων ὅταν αὖ δέῃ λόγον διδόναι τὸν σμικρὸν ἐκεῖνον τὴν ψυχὴν καὶ δριμὺν καὶ δικανικὸν, πάλιν αὖ τὰ ἀντίστροφα ἀποδίδωσιν· ἰλιγγιῶν τε γὰρ, ἀπὸ ὑψηλοῦ κρεμασθεὶς, καὶ βλέπων μετέωρος ἄνωθεν ὑπὸ ἀηθείας, ἀδημονῶν τε καὶ ἀπορῶν καὶ βαρβαρίζων, γέλωτα Θρᾴτταις μὲν οὐ παρέχει, οὐδ' ἄλλῳ ἀπαιδεύτῳ οὐδενί· οὐ γὰρ αἰσθάνονται· τοῖς δ' ἐναντίως, ἢ ὡς ἀνδραπόδοις, τραφεῖσι πᾶσιν.

Οὗτος δὴ ἑκατέρου τρόπος· ὁ μὲν, τῷ ὄντι ἐν ἐλευθερίᾳ τε καὶ σχολῇ τεθραμμένου, ὃν δὴ φιλόσοφον καλεῖς, ᾧ ἀνεμέσητον εὐήθει δοκεῖν καὶ οὐδενὶ εἶναι, ὅταν εἰς

δουλικὰ ἐμπέσῃ διακονήματα, οἷον, στρωματόδεσμον μὴ ἐπισταμένου ξυσκευάσασθαι, μηδὲ ὄψον ἡδῦναι, ἢ θῶπας λόγους· ὁ δ' αὖ, τὰ μὲν τοιαῦτα πάντα δυναμένου τορῶς τε καὶ ὀξέως διακονεῖν, ἀναβάλλεσθαι δὲ οὐκ ἐπισταμένου ἐπιδέξια ἐλευθέρως, οὐδέ γ' ἁρμονίαν λόγων λαβόντος ὀρθῶς ὑμνῆσαι θεῶν τε καὶ ἀνδρῶν εὐδαιμόνων βίον ἀληθῆ.

Εἰ πάντας, ὦ Σώκρατες, πείθοις ἃ λέγεις ὥσπερ ἐμὲ, πλείων ἂν εἰρήνη, καὶ κακὰ ἐλάττω κατ' ἀνθρώπους εἴη. —Ἀλλ' οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατόν (ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ ἀεὶ εἶναι ἀνάγκη), οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρύσθαι· τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης. Διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα. Φυγὴ δὲ, ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν· ὁμοίωσις δὲ, δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. Ἀλλὰ γὰρ, ὦ ἄριστε, οὐ πάνυ τι ῥᾴδιον πεῖσαι, ὡς ἄρα οὐχ ὧν ἕνεκα οἱ πολλοί φασι δεῖν πονηρίαν μὲν φεύγειν, ἀρετὴν δὲ διώκειν, τούτων χάριν τὸ μὲν ἐπιτηδευτέον, τὸ δ' οὔ, ἵνα δὴ μὴ κακὸς, καὶ ἵνα ἀγαθὸς δοκῇ εἶναι· ταῦτα μὲν γάρ ἐστιν ὁ λεγόμενος γραῶν ὕθλος, ὡς ἐμοὶ φαίνεται· τὸ δὲ ἀληθὲς, ὧδε λέγομεν. Θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος, ἀλλ' ὡς οἷόν τε δικαιότατος· καὶ οὐκ ἔστιν αὐτῷ ὁμοιότερον οὐδὲν, ἢ ὃς ἂν ἡμῶν αὖ γένηται ὅτι δικαιότατος. Περὶ τούτου καὶ ἡ ὡς ἀληθῶς δεινότης ἀνδρὸς, καὶ οὐδενία τε καὶ ἀνανδρία. Ἡ μὲν γὰρ τούτου γνῶσις, σοφία καὶ ἀρετὴ ἀληθινή· ἡ δὲ ἄγνοια, ἀμαθία καὶ κακία ἐναργής.

Αἱ δ' ἄλλαι δεινότητές τε δοκοῦσαι καὶ σοφίαι, ἐν μὲν πολιτικαῖς δυναστείαις γιγνόμεναι, φορτικαί· ἐν δὲ τέχναις, βάναυσοι. Τῷ οὖν ἀδικοῦντι, καὶ ἀνόσια λέγοντι ἢ πράττοντι, μακρῷ ἄριστ' ἔχει τὸ μὴ ξυγχωρεῖν δεινῷ ὑπὸ πανουργίας εἶναι· ἀγάλλονται γὰρ τῷ ὀνείδει, καὶ οἴονται ἀκούειν ὅτι οὐ λῆροί εἰσι, γῆς ἄλλως ἄχθη, ἀλλ' ἄνδρες, οἵους δεῖ ἐν πόλει τοὺς σωθησομένους. Λεκτέον οὖν

τἀληθὲς, ὅτι τοσούτῳ μᾶλλόν εἰσιν οἷοι οὐκ οἴονται, ὅτι οὐχὶ οἴονται· ἀγνοοῦσι γὰρ ζημίαν ἀδικίας, ὃ δεῖ ἥκιστα ἀγνοεῖν. Οὐ γάρ ἐστιν ἣν δοκοῦσι, πληγαί τε, καὶ θάνατοι, ὧν ἐνίοτε πάσχουσιν οὐδὲν ἀδικοῦντες, ἀλλὰ ἣν ἀδύνατον ἐκφυγεῖν.—Τίνα δὴ λέγεις;—Παραδειγμάτων, ὦ φίλε, ἐν τῷ ὄντι ἑστώτων, τοῦ μὲν θείου, εὐδαιμονεστάτου, τοῦ δὲ ἀθέου, ἀθλιωτάτου, οὐχ ὁρῶντες ὅτι οὕτως ἔχει, ὑπὸ ἠλιθιότητός τε καὶ τῆς ἐσχάτης ἀνοίας λανθάνουσι τῷ μὲν ὁμοιούμενοι διὰ τὰς ἀδίκους πράξεις, τῷ δὲ ἀνομοιούμενοι· οὗ δὴ τίνουσι δίκην, ζῶντες τὸν εἰκότα βίον ᾧ ὁμοιοῦνται. Ἐὰν δ' εἴπωμεν ὅτι, ἂν μὴ ἀπαλλαγῶσι τῆς δεινότητος, καὶ τελευτήσαντας αὐτοὺς ἐκεῖνος μὲν ὁ τῶν κακῶν καθαρὸς τόπος οὐ δέξεται, ἐνθάδε δὲ τὴν αὑτοῖς ὁμοιότητα τῆς διαγωγῆς ἀεὶ ἕξουσι, κακοὶ κακοῖς ξυνόντες· ταῦτα δὴ καὶ παντάπασιν ὡς δεινοὶ καὶ πανοῦργοι ἀνοήτων τινῶν ἀκούσονται. Ἓν μέντοι τι αὐτοῖς ξυμβέβηκεν, ὅτι, ἂν ἰδίᾳ λόγον δέῃ δοῦναί τε καὶ δέξασθαι περὶ ὧν ψέγουσι, καὶ ἐθελήσωσιν ἀνδρικῶς πολὺν χρόνον ὑπομεῖναι, καὶ μὴ ἀνάνδρως φεύγειν, τότε ἀτόπως τελευτῶντες, οὐκ ἀρέσκουσιν αὐτοὶ αὑτοῖς περὶ ὧν λέγουσι, καὶ ἡ ῥητορικὴ ἐκείνη πως ἀπομαραίνεται, ὥστε παίδων μηδὲν δοκεῖν διαφέρειν.

THEÆTETUS.

PARS TERTIA.

DE LEGIBUS.

QUANDO DÆMONES HIC REGNAVERINT.

Φήμην παραδεδέγμεθα τῆς τῶν πάλαι μακαρίας ζωῆς, ὡς ἄφθονά τε καὶ αὐτόματα πάντα εἶχεν. Ἡ δὲ τούτων αἰτία λέγεται τοιάδε τις. Γιγνώσκων ὁ Κρόνος ἄρα, ὡς ἀνθρωπεία φύσις οὐδεμία ἱκανὴ, τὰ ἀνθρώπινα διοικοῦσα αὐτοκράτωρ πάντα, μὴ οὐχ ὕβρεώς τε καὶ ἀδικίας μεστοῦσθαι· ταῦτ᾽ οὖν διανοούμενος, ἐφίστη βασιλέας γε καὶ ἄρχοντας ταῖς πόλεσιν ἡμῶν, οὐκ ἀνθρώπους, ἀλλὰ γένους θειοτέρου τε καὶ ἀμείνονος δαίμονας. Οἷον νῦν ἡμεῖς δρῶμεν τοῖς ποιμνίοις, καὶ ὅσων ἥμεροί εἰσιν ἀγέλαι· οὐ βοῦς βοῶν, οὐδὲ αἶγας αἰγῶν ἄρχοντας ποιοῦμεν αὐτοῖς τινὰς, ἀλλ᾽ ἡμεῖς αὐτῶν δεσπόζομεν, ἄμεινον ἐκείνων γένος· ταυτὸν ἄρα καὶ ὁ θεὸς δὴ καὶ φιλάνθρωπος ὢν, τὸ γένος ἄμεινον ἡμῶν ἐφίστη τὸ τῶν δαιμόνων· ὃ διὰ πολλῆς μὲν αὐτοῖς ῥᾳστώνης, πολλῆς δ᾽ ἡμῖν, ἐπιμελούμενον ἡμῶν, εἰρήνην τε καὶ αἰδῶ καὶ ἐλευθερίαν καὶ ἀφθονίαν δίκης παρεχόμενον, ἀστασίαστα καὶ εὐδαίμονα τὰ τῶν ἀνθρώπων ἀπειργάζετο γένη.

Λέγει δὴ καὶ νῦν οὗτος ὁ λόγος ἀληθείᾳ χρώμενος, ὡς ὅσων ἂν πόλεων μὴ θεὸς, ἀλλά τις ἄρχῃ θνητὸς,

οὐκ ἔστι κακῶν αὐτοῖς οὐδὲ πόνων ἀνάψυξις· ἀλλὰ μιμεῖσθαι δεῖν ἡμᾶς οἴεται πάσῃ μηχανῇ τὸν ἐπὶ τοῦ Κρόνου λεγόμενον βίον, καὶ ὅσον ἐν ἡμῖν ἀθανασίας ἔνεστι, τούτῳ πειθομένους δημοσίᾳ καὶ ἰδίᾳ, τάς τ' οἰκήσεις καὶ τὰς πόλεις διοικεῖν, τὴν τοῦ νοῦ διανομὴν ἐπονομάζοντας νόμον. Εἰ δ' ἄνθρωπος εἷς, ἢ ὀλιγαρχία τις, ἢ καὶ δημοκρατία, ψυχὴν ἔχουσα ἡδονῶν καὶ ἐπιθυμιῶν ὀρεγομένην, καὶ πληροῦσθαι τούτων δεομένην, στέγουσαν δὲ οὐδὲν, ἀλλ' ἀνηνύτῳ καὶ ἀπλήστῳ κακῷ νοσήματι ξυνεχομένην, ἄρξει δὴ πόλεως ἤ τινος ἰδιώτου, καταπατήσας ὁ τοιοῦτος τοὺς νόμους· ὃ νῦν δὴ ἐλέγομεν, οὐκ ἔστι σωτηρίας μηχανή. Σκοπεῖν δὴ δεῖ τοῦτον τὸν λόγον ἡμᾶς, πότερον αὐτῷ πεισόμεθα, ἢ πῶς δράσομεν.

Ἐννοεῖς οὖν ὅτι νόμων εἴδη φασί τινες εἶναι τοσαῦτα, ὅσαπερ πολιτειῶν; Πολιτειῶν δὲ ἄρτι διεληλύθαμεν ὅσα λέγουσιν οἱ πολλοί· μὴ δὴ φαύλου πέρι νομίσῃς εἶναι τὴν νῦν ἀμφισβήτησιν, περὶ δὲ τοῦ μεγίστου· τὸ γὰρ δίκαιον καὶ τὸ ἄδικον οἷ χρὴ βλέπειν, πάλιν ἡμῖν ἀμφισβητούμενον ἐλήλυθεν. Οὔτε γὰρ πρὸς τὸν πόλεμον, οὔτε πρὸς ἀρετὴν ὅλην βλέπειν δεῖν φασὶ τοὺς νόμους· ἀλλ' ἥτις ἂν καθεστηκυῖα ᾖ πολιτεία, ταύτην δεῖν τὸ ξυμφέρον, ὅπως ἄρξει τε ἀεὶ καὶ μὴ καταλυθήσεται· καὶ τὸν φύσει ὅρον τοῦ δικαίου λέγεσθαι κάλλισθ' οὕτω. Πῶς; ὅτι τὸ τοῦ κρείττονος ξυμφέρον ἐστί. Τίθεται δέ που, φασὶ, τοὺς νόμους ἐν τῇ πόλει ἑκάστοτε τὸ κρατοῦν. Ἆρ' οὖν οἴει, φασὶ, ποτὲ δῆμον νικήσαντα, ἤ τινα πολιτείαν ἄλλην, ἢ καὶ τυραννίδα, θήσεσθαι ἑκόντα πρὸς ἄλλο τι πρῶτον νόμους, ἢ τὸ ξυμφέρον ἑαυτῷ τῆς ἀρχῆς τοῦ μένειν; Οὐκοῦν καὶ ὃς ἂν ταῦτα τὰ τεθέντα παραβαίνῃ, κολάσει ὁ θέμενος ὡς ἀδικοῦντα, δίκαια εἶναι ταῦτ' ἐπονομάζων. Ταῦτ' ἄρ' ἀεὶ καὶ οὕτω καὶ ταύτῃ τὸ δίκαιον ἂν ἔχοι; Ἔστι γὰρ τοῦτο ἓν ἐκείνων τῶν ἀδικημάτων ἀρχῆς πέρι.

Ποίων δή; Τῶν ἃ τότε ἐπεσκοποῦμεν, τίνας τίνων ἄρχειν δεῖ· καὶ ἐφάνη δὴ γονέας μὲν ἐκγόνων, νεωτέρων δὲ

πρεσβυτέρους, γενναίους δὲ ἀγεννῶν· καὶ συχνὰ ἄττα ἦν ἄλλ᾽, εἰ μεμνήμεθα, καὶ ἐμπόδια ἕτερα ἑτέροις· καὶ δὴ καὶ ἓν ἦν αὐτῶν τοῦτο, καὶ ἔφαμέν που κατὰ φύσιν τὸν Πίνδαρον ἄγειν δικαιοῦντα τὸ βιαιότατον, ὡς φάναι. Σκόπει δὴ, ποτέροις τισὶν ἡ πόλις ἡμῖν ἐστὶ παραδοτέα; Γέγονε γὰρ δὴ μυριάκις ἤδη τὸ τοιοῦτον ἔν τισι πόλεσιν· ἀρχῶν περιμαχήτων γενομένων, οἱ νικήσαντες τά τε πράγματα κατὰ τὴν πόλιν οὕτως ἐσφετέρισαν σφόδρα, ὥστε ἀρχῆς μηδοτιοῦν μεταδιδόναι τοῖς ἡττηθεῖσι, μήτε αὐτοῖς, μήτε ἐγγόνοις, παραφυλάττοντες δ᾽ ἀλλήλους ζῶσιν, ὅπως μήποτέ τις εἰς ἀρχὴν ἀφικόμενος ἐπαναστῇ, μεμνημένος τῶν ἔμπροσθεν γεγονότων κακῶν. Ταύτας δήπου φαμὲν ἡμεῖς νῦν οὔτ᾽ εἶναι πολιτείας, οὔτ᾽ ὀρθοὺς νόμους, ὅσοι μὴ ξυμπάσης τῆς πόλεως ἕνεκα τοῦ κοινοῦ ἐτέθησαν· οἳ δ᾽ ἕνεκα τινῶν, στασιωτείας, ἀλλ᾽ οὐ πολιτείας τούτους φαμὲν, καὶ τὰ τούτων δίκαια ἅ φασιν εἶναι, μάτην εἰρῆσθαι.

Λέγεται δὲ τοῦδ᾽ ἕνεκα ταῦθ᾽ ἡμῖν, ὡς ἡμεῖς τῇ σῇ πόλει ἀρχὰς, οὔθ᾽ ὅτι πλούσιός ἐστί τις, δώσομεν, οὔθ᾽ ὅτι τῶν τοιούτων ἄλλο οὐδὲν κεκτημένος, ἰσχὺν, ἢ μέγεθος, ἤ τι γένος· ὃς δ᾽ ἂν τοῖς τεθεῖσι νόμοις εὐπειθέστατός τ᾽ εἴη, καὶ νικᾷ ταύτην τὴν νίκην ἐν τῇ πόλει, τούτῳ φαμὲν καὶ τὴν τῶν θεῶν ὑπηρεσίαν δοτέον εἶναι τὴν μεγίστην τῷ πρώτῳ, καὶ δευτέραν τῷ τὰ δεύτερα κρατοῦντι· καὶ κατὰ λόγον οὕτω τοῖς ἐφεξῆς τὰ μετὰ ταῦθ᾽ ἕκαστα ἀποδοτέον εἶναι. Τοὺς δ᾽ ἄρχοντας λεγομένους νῦν, ὑπηρέτας τοῖς νόμοις ἐκάλεσα, οὔτι καινοτομίας ὀνομάτων ἕνεκα· ἀλλ᾽ ἡγοῦμαι παντὸς μᾶλλον εἶναι παρὰ τοῦτο σωτηρίαν τε πόλει, καὶ τοὐναντίον. Ἐν ᾗ μὲν γὰρ ἂν ἀρχόμενος ᾖ καὶ ἄκυρος νόμος, φθορὰν ὁρῶ τῇ τοιαύτῃ ἑτοίμην οὖσαν· ἐν ᾗ δὲ ἂν δεσπότης τῶν ἀρχόντων, οἱ δὲ ἄρχοντες δοῦλοι τοῦ νόμου, σωτηρίαν, καὶ πάνθ᾽, ὅσα θεοὶ πόλεσιν ἔδοσαν, ἀγαθὰ γιγνόμενα καθορῶ.

De Legibus, iv.

PRIMI HOMINES.

ἮΝ ποτὲ χρόνος, ὅτε θεοὶ μὲν ἦσαν, θνητὰ δὲ γένη οὐκ ἦν. Ἐπειδὴ δὲ καὶ τούτοις χρόνος ἦλθεν εἱμαρμένος γενέσεως, τυποῦσιν αὐτὰ θεοὶ γῆς ἔνδον, ἐκ γῆς καὶ πυρὸς μίξαντες, καὶ τῶν ὅσα πυρὶ καὶ γῇ κεράννυται. Ἐπειδὴ δ' ἄγειν αὐτὰ πρὸς φῶς ἔμελλον, προσέταξαν Προμηθεῖ καὶ Ἐπιμηθεῖ κοσμῆσαί τε καὶ νεῖμαι δυνάμεις ἑκάστοις ὡς πρέπει.

Προμηθέα δὲ παραιτεῖται Ἐπιμηθεὺς αὐτὸς νεῖμαι· Νείμαντος δέ μου, ἔφη, ἐπίσκεψαι. Καὶ οὕτω πείσας, νέμει· νέμων δὲ, τοῖς μὲν ἰσχὺν ἄνευ τάχους προσῆπτε, τοὺς δ' ἀσθενεστέρους τάχει ἐκόσμει· τοὺς δὲ ὥπλιζε, τοῖς δ' ἄοπλον διδοὺς φύσιν, ἄλλην τιν' αὐτοῖς ἐμηχανᾶτο δύναμιν εἰς σωτηρίαν· ἃ μὲν γὰρ αὐτῶν σμικρότητι ἤμπισχε, πτηνὸν φυγὴν ἢ κατάγειον οἴκησιν ἔνεμεν· ἃ δὲ ηὖξε μεγέθει, τῷδε αὐτῷ αὐτὰ ἔσωζε. Καὶ τἄλλα οὕτως ἐπανισῶν ἔνεμε· ταῦτα δὲ ἐμηχανᾶτο, εὐλάβειαν ἔχων μή τι γένος ἀϊστωθείη. Ἐπειδὴ δὲ αὐτοῖς ἀλληλοφθοριῶν διαφυγὰς ἐπήρκεσε, πρὸς τὰς ἐκ Διὸς ὥρας εὐμαρείαν ἐμηχανᾶτο, ἀμφιεννὺς αὐτὰ πυκναῖς τε θριξὶ καὶ στεροῖς δέρμασιν, ἱκανοῖς μὲν ἀμῦναι χειμῶνα, δυνατοῖς δὲ καὶ καύματα, καὶ εἰς εὐνὰς ἰοῦσιν ὅπως ὑπάρχοι τὰ αὐτὰ ταῦτα στρωμνὴ οἰκεία τε καὶ αὐτοφυὴς ἑκάστῳ· καὶ ὑπὸ πόδων, τὰ μὲν ὁπλαῖς, τὰ δὲ θριξὶ καὶ δέρμασι στερεοῖς καὶ ἀναίμοις. Τοὐντεῦθεν τροφὰς ἄλλοις ἄλλας ἐξεπόριζε· τοῖς μὲν, ἐκ γῆς βοτάνην, ἄλλοις δὲ, δένδρων καρποὺς, τοῖς δὲ, ῥίζας. Ἔστι δ' οἷς ἔδωκεν εἶναι τροφὴν, ζώων ἄλλων βοράν· καὶ τοῖς μὲν ὀλιγογονίαν

προσῆψε, τοῖς δ᾽ ἀναλισκομένοις ὑπὸ τούτων πολυγονίαν, σωτηρίαν τῷ γένει πορίζων. Ἅτε δὴ οὖν οὐ πάνυ τοι σοφὸς ὢν ὁ Ἐπιμηθεὺς, ἔλαθεν αὑτὸν καταναλώσας τὰς δυνάμεις εἰς τὰ ἄλογα· λοιπὸν δὴ ἔτι ἀκόσμητον αὐτῷ ἦν τὸ τῶν ἀνθρώπων γένος· καὶ ἠπόρει ὅ τι χρήσαιτο.

Ἀποροῦντι δὲ αὐτῷ ἔρχεται Προμηθεὺς ἐπισκεψόμενος τὴν νομήν. Καὶ ὁρᾷ τὰ μὲν ἄλλα ζῶα ἐμμελῶς πάντων ἔχοντα· τὸν δ᾽ ἄνθρωπον, γυμνόν τε καὶ ἀνυπόδητον καὶ ἄστρωτον καὶ ἄοπλον. Ἤδη δὲ καὶ ἡ εἱμαρμένη ἡμέρα παρῆν, ἐν ᾗ ἔδει καὶ ἄνθρωπον ἐξιέναι ἐκ γῆς εἰς φῶς. Ἀπορίᾳ οὖν ἐχόμενος ὁ Προμηθεὺς, ἥντινα σωτηρίαν τῷ ἀνθρώπῳ εὕροι, κλέπτει Ἡφαίστου καὶ Ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν ξὺν πυρί· ἀμήχανον γὰρ ἦν ἄνευ πυρὸς αὐτὴν κτητήν τῳ ἢ χρησίμην γενέσθαι· καὶ οὕτω δὴ δωρεῖται ἀνθρώπῳ. Τὴν μὲν οὖν περὶ τὸν βίον σοφίαν ἄνθρωπος ταύτῃ ἔσχε· τὴν δὲ πολιτικὴν οὐκ εἶχεν. Ἦν γὰρ παρὰ τῷ Διΐ· τῷ δὲ Προμηθεῖ εἰς μὲν τὴν ἀκρόπολιν τὴν τοῦ Διὸς οἴκησιν οὐκέτι ἐνεχώρει εἰσελθεῖν· πρὸς δὲ καὶ αἱ Διὸς φυλακαὶ φοβεραὶ ἦσαν. Εἰς δὲ τὸ τῆς Ἀθηνᾶς καὶ Ἡφαίστου οἴκημα τὸ κοινὸν, ἐν ᾧ ἐφιλοτεχνείτην, λαθὼν εἰσέρχεται· καὶ κλέψας τήν τε ἔμπυρον τέχνην τὴν τοῦ Ἡφαίστου, καὶ τὴν ἄλλην τὴν τῆς Ἀθηνᾶς, δίδωσιν ἀνθρώπῳ· καὶ ἐκ τούτου εὐπορία μὲν ἀνθρώπῳ τοῦ βίου γίγνεται· Προμηθέα δὲ δι᾽ Ἐπιμηθέα ὕστερον, ᾗπερ λέγεται, κλοπῆς δίκη μετῆλθεν.

Ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας μετέσχε μοίρας, πρῶτον μὲν, διὰ τὴν τοῦ θεοῦ ξυγγένειαν, ζώων μόνον θεοὺς ἐνόμισε, καὶ ἐπεχείρει βωμούς τε ἱδρύεσθαι, καὶ ἀγάλματα θεῶν. Ἔπειτα φωνὴν καὶ ὀνόματα ταχὺ διηρθρώσατο τῇ τέχνῃ· καὶ οἰκήσεις, καὶ ἐσθῆτας, καὶ ὑποδέσεις, καὶ στρωμνὰς, καὶ τὰς ἐκ γῆς τροφὰς εὕρετο. Οὕτω δὴ παρεσκευασμένοι κατ᾽ ἀρχὰς ἄνθρωποι, ᾤκουν σποράδην· πόλεις δὲ οὐκ ἦσαν. Ἀπώλλυντο οὖν

ὑπὸ τῶν θηρίων, διὰ τὸ πανταχῆ αὐτῶν ἀσθενέστεροι εἶναι· καὶ ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν ἱκανὴ βοηθὸς ἦν, πρὸς δὲ τὸν τῶν θηρίων πόλεμον ἐνδεής· πολιτικὴν γὰρ τέχνην οὔπω εἶχον, ἧς μέρος πολεμική. Ἐζήτουν δὲ ἀθροίζεσθαι καὶ σώζεσθαι, κτίζοντες πόλεις. Ὅτ' οὖν ἀθροισθεῖεν, ἠδίκουν ἀλλήλους, ἅτε οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην. Ὥςτε πάλιν σκεδαννύμενοι διεφθείροντο.

Ζεὺς οὖν δείσας περὶ τῷ γένει ἡμῶν, μὴ ἀπόλοιτο πᾶν, Ἑρμῆν πέμπει ἄγοντα εἰς ἀνθρώπους αἰδῶ τε καὶ δίκην, ἵν' εἶεν πόλεων κόσμοι τε καὶ δεσμοὶ φιλίας ξυναγωγοί. Ἐρωτᾷ οὖν Ἑρμῆς Δία, τίνα οὖν τρόπον δοίη δίκην καὶ αἰδῶ ἀνθρώποις· Πότερον, ὡς αἱ τέχναι νενέμηνται, οὕτω καὶ ταύτας νείμω; Νενέμηνται δὲ ὧδε· εἷς ἔχων ἰατρικὴν, πολλοῖς ἱκανὸς ἰδιώταις, καὶ οἱ ἄλλοι δημιουργοί. Καὶ δίκην δὴ καὶ αἰδῶ οὕτω θῶ ἐν τοῖς ἀνθρώποις, ἢ ἐπὶ πάντας νείμω; Ἐπὶ πάντας, ἔφη ὁ Ζεύς· καὶ πάντες μετεχόντων. Οὐ γὰρ ἂν γένοιντο πόλεις, εἰ ὀλίγοι αὐτῶν μετέχοιεν, ὥσπερ ἄλλων τεχνῶν. Καὶ νόμον γε θὲς παρ' ἐμοῦ, τὸν μὴ δυνάμενον αἰδοῦς καὶ δίκης μετέχειν, κτείνειν ὡς νόσον πόλεως.

Οὕτω δὴ καὶ διὰ ταῦτα οἵ τε ἄλλοι καὶ Ἀθηναῖοι, ὅταν μὲν περὶ ἀρετῆς τεκτονικῆς ᾖ λόγος, ἢ ἄλλης τινὸς δημιουργικῆς, ὀλίγοις οἴονται μετεῖναι ξυμβουλῆς, καὶ ἐάν τις ἐκτὸς ὢν τῶν ὀλίγων ξυμβουλεύῃ, οὐκ ἀνέχονται, εἰκότως, ὡς ἐγὼ φημί· ὅταν δὲ εἰς ξυμβουλὴν πολιτικῆς ἀρετῆς ἴωσιν, ἣν δεῖ διὰ δικαιοσύνης πᾶσαν ἰέναι καὶ σωφροσύνης, εἰκότως ἅπαντος ἀνδρὸς ἀνέχονται· ὡς παντὶ προσῆκον ταύτης γε μετέχειν τῆς ἀρετῆς, ἢ μὴ εἶναι πόλεις.

Αὕτη τούτου αἰτία· ἵνα δὲ μὴ οἴῃ ἀπατᾶσθαι ὡς τῷ ὄντι ἡγοῦνται πάντες ἄνθρωποι πάντα ἄνδρα μετέχειν δικαιοσύνης τε καὶ τῆς ἄλλης πολιτικῆς ἀρετῆς, τόδε

αὖ λάβε τεκμήριον. Ἐν γὰρ ταῖς ἄλλαις ἀρεταῖς, ἐὰν τίς φῇ ἀγαθὸς αὐλητὴς εἶναι, ἢ ἄλλην ἥντινοῦν τέχνην ἣν μὴ ἔστιν, ἢ καταγελῶσιν, ἢ χαλεπαίνουσι· καὶ οἱ οἰκεῖοι προσιόντες νουθετοῦσιν ὡς μαινόμενον. Ἐν δὲ δικαιοσύνῃ καὶ ἐν τῇ ἄλλῃ πολιτικῇ ἀρετῇ, ἐὰν τινὰ καὶ εἰδῶσιν ὅτι ἄδικός ἐστιν, ἐὰν οὗτος αὐτὸς καθ' αὑτοῦ τἀληθῆ λέγῃ ἐναντίον πολλῶν, ὃ ἐκεῖ σωφροσύνην ἡγοῦντο εἶναι, τἀληθῆ λέγειν, ἐνταῦθα μανίαν· καί φασὶ πάντας δεῖν φάναι εἶναι δικαίους, ἐάν τε ὦσιν, ἐάν τε μὴ, ἢ μαίνεσθαι τὸν μὴ προσποιούμενον δικαιοσύνην· ὡς ἀναγκαῖον οὐδένα ὅντιν' οὐχὶ ἀμωσγέπως μετέχειν αὐτῆς, ἢ μὴ εἶναι ἐν ἀνθρώποις.

PROTAGORAS.

ATHENÆ.

Νέος ἐγώ ποτε ὢν, πολλοῖς δὴ ταυτὸν ἔπαθον· ᾠήθην, εἰ θᾶττον ἐμαυτοῦ γενοίμην κύριος, ἐπὶ τὰ κοινὰ τῆς πόλεως εὐθὺς ἰέναι. Καὶ μοὶ τύχαι τινὲς τῶν τῆς πόλεως πραγμάτων τοιαίδε παρέπεσον. Ὑπὸ πολλῶν γὰρ τῆς τότε πολιτείας λοιδορουμένης, μεταβολὴ γίγνεται· καὶ τῆς μεταβολῆς εἷς καὶ πεντήκοντά τινες ἄνδρες προὔστησαν ἄρχοντες· ἕνδεκα μὲν ἐν ἄστει, δέκα δ' ἐν Πειραιεῖ, περί τε ἀγορὰν ἑκάτεροι τούτων, ὅσα τ' ἐν τοῖς ἄστεσι διοικεῖν ἔδει· τριάκοντα δὲ πάντων ἄρχοντες κατέστησαν αὐτοκράτορες. Τούτων δή τινες οἰκεῖοί τε ὄντες καὶ γνώριμοι ἐτύγχανον ἐμοί· καὶ δὴ καὶ παρεκάλουν εὐθὺς ὡς ἐπὶ προσήκοντα πράγματά με. Καὶ ἐγὼ θαυμαστὸν οὐδὲν ἔπαθον ὑπὸ νεότητος· ᾠήθην γὰρ αὐτοὺς ἔκ τινος ἀδίκου βίου ἐπὶ δίκαιον τρόπον ἄγοντας διοικήσειν δὴ τὴν πόλιν· ὥστε

αὐτοῖς σφόδρα προσεῖχον τὸν νοῦν, τί πράξοιεν. Καὶ ὁρῶν δήπου τοὺς ἄνδρας ἐν χρόνῳ ὀλίγῳ χρυσῆν ἀποδείξαντας τὴν ἔμπροσθεν πολιτείαν· τά τε ἄλλα καὶ φίλον ἄνδρα ἐμοὶ πρεσβύτερον Σωκράτη, ὃν ἐγὼ σχεδὸν οὐκ ἂν αἰσχυνοίμην εἰπὼν δικαιότατον εἶναι τῶν τότε, ἐπί τινα τῶν πολιτῶν μεθ' ἑτέρων ἔπεμπον, βίᾳ ἄξοντα ὡς ἀποθανούμενον, ἵνα δὴ μετέχοι τῶν πραγμάτων αὐτοῖς, εἴτε βούλοιτο, εἴτε μή· ὁ δ' οὐκ ἐπείθετο, πᾶν δὲ παρεκινδύνευσε παθεῖν, πρὶν ἀνοσίων αὐτοῖς ἔργων γενέσθαι κοινωνός· ἃ δὴ πάντα καθορῶν, καὶ εἴ τιν' ἄλλα τοιαῦτα οὐ σμικρὰ, ἐδυσχέρανά τε, καὶ ἐμαυτὸν ἐπανήγαγον ἀπὸ τῶν τότε κακῶν.

Χρόνῳ δὲ οὐ πολλῷ μετέπεσε τὰ τῶν τριάκοντά τε, καὶ πᾶσα ἡ τότε πολιτεία· πάλιν δὲ, βραδύτερον μὲν, εἷλε δέ με ὅμως ἡ περὶ τὸ πράττειν τὰ κοινὰ καὶ πολιτικὰ ἐπιθυμία.

Ἦν οὖν καὶ ἐν ἐκείνοις, ἅτε τεταραγμένοις, πολλὰ γιγνόμενα, ἅ τις ἂν δυσχεράνειεν· καὶ οὐδέν τι θαυμαστὸν ἦν τιμωρίας ἐχθρῶν γίγνεσθαί τινών τισι μείζους ἐν μεταβολαῖς· καίτοι πολλῇ γε ἐχρήσαντο οἱ τότε κατελθόντες ἐπιεικείᾳ. Κατὰ δέ τινα τύχην αὖ τὸν ἑταῖρον ἡμῶν Σωκράτη τοῦτον δυναστεύοντές τινες εἰσάγουσιν εἰς δικαστήριον, ἀνοσιωτάτην αἰτίαν ἐπιβάλλοντες, καὶ πάντων ἥκιστα Σωκράτει προσήκουσαν· ὡς ἀσεβῆ γὰρ οἱ μὲν εἰσήγαγον, οἱ δὲ κατεψηφίσαντο καὶ ἀπέκτειναν, τὸν τότε τῆς ἀνοσίου ἀγωγῆς οὐκ ἐθελήσαντα μετασχεῖν περὶ ἕνα τῶν τότε φευγόντων φίλων, ὅτε φεύγοντες ἐδυστύχουν αὐτοί.

Σκοποῦντι δή μοι ταῦτά τε, καὶ τοὺς ἀνθρώπους τοὺς πράττοντας τὰ πολιτικὰ, καὶ τοὺς νόμους γε καὶ ἔθη, ὅσῳ μᾶλλον διεσκόπουν, ἡλικίας τε εἰς τὸ πρόσθεν προὔβαινον, τοσούτῳ χαλεπώτερον ἐφαίνετο ὀρθῶς εἶναί μοι τὰ πολιτικὰ διοικεῖν. Οὔτε γὰρ ἄνευ φίλων ἀνδρῶν, καὶ ἑταίρων πιστῶν, οἷόν τ' εἶναι πράττειν· οὓς οὔθ' ὑπάρχοντας ἦν εὑρεῖν εὐπετές· οὐ γὰρ ἔτι ἐν τοῖς τῶν πατέρων ἤθεσι καὶ

ἐπιτηδεύμασιν ἡ πόλις ἡμῶν διῳκεῖτο· καινούς τε ἄλλους ἀδύνατον ἦν κτᾶσθαι μετά τινος ῥᾳστώνης, τά τε τῶν νόμων γράμματα καὶ ἔθη διεφθείρετο καὶ ἐπεδίδου θαυμαστὸν ὅσον.

Ὥστε με τὸ πρῶτον πολλῆς μεστὸν ὄντα ὁρμῆς ἐπὶ τὸ πράττειν τὰ κοινὰ, βλέποντα εἰς ταῦτα, καὶ φερόμενα ὁρῶντα πάντη πάντως, τελευτῶντα ἰλιγγιᾷν· καὶ τοῦ μὲν σκοπεῖν μὴ ἀποστῆναι, μή ποτε ἄμεινον ἂν γίγνοιτο περί τε αὐτὰ ταῦτα, καὶ δὴ καὶ περὶ τὴν πᾶσαν πολιτείαν, τοῦ δὲ πράττειν αὖ περιμένειν ἀεὶ καιρούς· τελευτῶντα δὲ νοῆσαι περὶ πασῶν τῶν νῦν πόλεων, ὅτι κακῶς ξύμπασαι πολιτεύονται. Τὰ γὰρ τῶν νόμων αὐταῖς σχεδὸν ἀνιάτως ἔχοντά ἐστιν ἄνευ παρασκευῆς θαυμαστῆς τινὸς μετὰ τύχης· λέγειν τε ἠναγκάσθην, ἐπαινῶν τὴν ὀρθὴν φιλοσοφίαν, ὡς ἐκ ταύτης ἐστὶ τά τε πολιτικὰ δίκαια καὶ τὰ τῶν ἰδιωτῶν πάντα κατιδεῖν· κακῶν οὖν οὐ λήξειν τὰ ἀνθρώπινα γένη, πρὶν ἂν ἢ τὸ τῶν φιλοσοφούντων ὀρθῶς γε καὶ ἀληθῶς γένος εἰς ἀρχὰς ἔλθῃ τὰς πολιτικὰς, ἢ τὸ τῶν δυναστευόντων ἐν ταῖς πόλεσιν, ἔκ τινος μοίρας θείας, ὄντως φιλοσοφήσῃ.

EPIST. VII.

POST LIBERTATEM NIMIAM TYRANNUS.

ΦΕΡΕ δὴ, τίς τρόπος τυραννίδος γίγνεται; ὅτι μὲν γὰρ ἐκ δημοκρατίας μεταβάλλει, σχεδὸν δῆλον. Ἆρ' οὖν τρόπον τινὰ τὸν αὐτὸν ἔκ τε ὀλιγαρχίας δημοκρατία γίγνεται, καὶ ἐκ δημοκρατίας τυραννίς; Ὃ προὔθετο ἀγαθὸν, καὶ δι' οὗ ἡ ὀλιγαρχία καθίστατο (τοῦτο δ' ἦν γίγνεσθαι ὑπέρ-

πλουτος), ἡ πλούτου τοίνυν ἀπληστία, καὶ ἡ τῶν ἄλλων ἀμέλεια διὰ χρηματισμὸν, αὐτὴν ἀπόλλυσιν· ἆρ᾽ οὖν καὶ ὃ δημοκρατία ὁρίζεται ἀγαθὸν, ἡ τούτου ἀπληστία καὶ ταύτην καταλύει; Τὴν ἐλευθερίαν λέγω.

Τοῦτο γάρ που ἐν δημοκρατουμένῃ πόλει ἀκούσαις ἂν ὡς ἔχει τε κάλλιστον, καὶ διὰ ταύτην ἐν μόνῃ ταύτῃ ἄξιον οἰκεῖν, ὅςτις φύσει ἐλεύθερος. Ἆρ᾽ οὖν, ὅπερ ᾖα νῦν δὴ ἐρῶν, ἡ τοῦ τοιούτου ἀπληστία, καὶ ἡ τῶν ἄλλων ἀμέλεια, καὶ ταύτην τὴν πολιτείαν μεθίστησί τε καὶ παρασκευάζει τυραννίδος δεηθῆναι;

Ὅταν, οἶμαι, δημοκρατουμένη πόλις, ἐλευθερίας διψήσασα, κακῶν οἰνοχόων προστατούντων τύχῃ, καὶ πορρωτέρω τοῦ δέοντος ἀκράτου αὐτῆς μεθυσθῇ, τοὺς ἄρχοντας δὴ, ἂν μὴ πάνυ πρᾷοι ὦσι καὶ πολλὴν παρέχωσι τὴν ἐλευθερίαν, κολάζει αἰτιωμένη ὡς μιαρούς τε καὶ ὀλιγαρχικούς. Τοὺς δέ γε τῶν ἀρχόντων κατηκόους προπηλακίζει, ὡς ἐθελοδούλους τε καὶ οὐδὲν ὄντας· τοὺς δὲ ἄρχοντας μὲν ἀρχομένοις, ἀρχομένους δὲ ἄρχουσιν ὁμοίους ἰδίᾳ τε καὶ δημοσίᾳ ἐπαινεῖ τε καὶ τιμᾷ. Ἆρ᾽ οὐκ ἀνάγκη ἐν τοιαύτῃ πόλει ἐπὶ πᾶν τὸ τῆς ἐλευθερίας ἰέναι; καὶ καταδύεσθαί γε εἴς τε τὰς ἰδίας οἰκίας, καὶ τελευτᾷν μέχρι τῶν θηρίων τὴν ἀναρχίαν ἐμφυομένην; Οἷον, πατέρα μὲν ἐθίζεσθαι παιδὶ ὅμοιον γίγνεσθαι, καὶ φοβεῖσθαι τοὺς υἱεῖς· υἱὸν δὲ πατρὶ, καὶ μήτε αἰσχύνεσθαι, μήτε δεδιέναι τοὺς γονέας, ἵνα δὴ ἐλεύθερος ᾖ· μέτοικον δὲ ἀστῷ καὶ ἀστὸν μετοίκῳ ἐξισοῦσθαι, καὶ ξένον ὡσαύτως. Ταῦτά τε καὶ σμικρὰ τοιάδε ἄλλα γίγνεται· διδάσκαλός τε ἐν τῷ τοιούτῳ φοιτητὰς φοβεῖται καὶ θωπεύει, φοιτηταί τε διδασκάλων ὀλιγωροῦσιν, οὕτω δὲ καὶ παιδαγωγῶν· καὶ ὅλως οἱ μὲν νέοι πρεσβυτέροις ἀπεικάζονται καὶ διαμιλλῶνται καὶ ἐν λόγοις καὶ ἐν ἔργοις· οἱ δὲ γέροντες, ξυγκαθιζόντες τοῖς νέοις, εὐτραπελίας τε καὶ χαριεντισμοῦ ἐμπίπλανται, μιμούμενοι τοὺς νέους, ἵνα δὴ μὴ δοκῶσιν ἀηδεῖς

εἶναι, μηδὲ δεσποτικοί. Τὸ δέ γ' ἔσχατον τῆς ἐλευθερίας τοῦ πλήθους, ὅσον γίγνεται ἐν τῇ τοιαύτῃ πόλει, ὅταν δὴ οἱ ἐωνημένοι καὶ αἱ ἐωνημέναι μηδὲν ἧττον ἐλεύθεροι ὦσι τῶν πριαμένων· ἐν γυναιξὶ δὲ πρὸς ἄνδρας, καὶ ἀνδράσι πρὸς γυναῖκας, ὅση ἡ ἰσονομία καὶ ἐλευθερία γίγνεται, ὀλίγου ἐπελαθόμεθ' εἰπεῖν.

Οὔκουν, κατ' Αἰσχύλον, ἐροῦμεν ὅ τι νῦν ἦλθ' ἐπὶ στόμα; Πάνυ γε, καὶ ἔγωγε οὕτω λέγω· τὸ μὲν γὰρ τῶν θηρίων τῶν ὑπὸ τοῖς ἀνθρώποις, ὅσῳ ἐλευθερώτερά ἐστιν ἐν ταύτῃ ἢ ἐν ἄλλῃ, οὐκ ἄν τις πείθοιθο ἄπειρος· ἀτεχνῶς γὰρ αἵ τε κύνες, κατὰ τὴν παροιμίαν, οἷαί περ αἱ δέσποιναι· γίγνονταί τε δὴ καὶ ἵπποι καὶ ὄνοι πάνυ ἐλευθέρως καὶ σεμνῶς, εἰθισμένοι πορεύεσθαι κατὰ τὰς ὁδοὺς ἐμβάλλοντες τῷ ἀεὶ ἀπαντῶντι, ἐὰν μὴ ἐξίστηται. Καὶ τἄλλα πάντα οὕτω μεστὰ ἐλευθερίας γίγνεται. Τὸ δὲ δὴ κεφάλαιον πάντων τούτων ξυνηθροισμένων ἐννοεῖς; ὡς ἁπαλὴν τὴν ψυχὴν τῶν πολιτῶν ποιεῖ, ὥςτε, κἂν ὁτιοῦν δουλείας τὶς προσφέρηται, ἀγανακτεῖν καὶ μὴ ἀνέχεσθαι. Τελευτῶντες γάρ που οἶσθ' ὅτι οὐδὲ τῶν νόμων φροντίζουσι γεγραμμένων, ἢ ἀγράφων, ἵνα δὴ μηδαμῇ μηδεὶς αὐτοῖς ᾖ δεσπότης.

Αὕτη μὲν τοίνυν ἡ ἀρχὴ οὑτωσὶ καλὴ καὶ νεανικὴ, ὅθεν τυραννὶς φύεται, ὡς ἐμοὶ δοκεῖ. Ταυτὸν, ὅπερ ἐν τῇ ὀλιγαρχίᾳ νόσημα ἐγγενόμενον ἀπώλεσεν αὐτὴν, τοῦτο καὶ ἐν ταύτῃ πλέον τε καὶ ἰσχυρότερον ἐκ τῆς ἐξουσίας ἐγγενόμενον, καταδουλοῦται δημοκρατίαν· καὶ τῷ ὄντι τὸ ἄγαν τὶ ποιεῖν μεγάλην φιλεῖ εἰς τοὐναντίον μεταβολὴν ἀνταποδιδόναι ἐν ὥραις τε καὶ ἐν φυτοῖς καὶ ἐν σώμασι, καὶ δὴ καὶ ἐν πολιτείαις οὐχ ἥκιστα. Ἡ γὰρ ἄγαν ἐλευθερία ἔοικεν οὐκ εἰς ἄλλο τι, ἢ εἰς ἄγαν δουλείαν μεταβάλλειν καὶ ἰδιώτῃ καὶ πόλει. Εἰκότως τοίνυν οὐκ ἐξ ἄλλης πολιτείας τυραννὶς καθίσταται, ἢ ἐκ δημοκρατίας· ἐξ, οἶμαι, τῆς ἀκροτάτης ἐλευθερίας, δουλεία πλείστη τε καὶ ἀγριωτάτη.

Ἀλλ' οὐ τοῦτ', οἶμαι, ἠρώτας, ἀλλὰ ποῖον νόσημα ἐν

ὀλιγαρχίᾳ τε φυόμενον ταυτὸν καὶ ἐν δημοκρατίᾳ δουλοῦται αὐτήν; Ἐκεῖνο τοίνυν ἔλεγον τὸ τῶν ἀργῶν τε καὶ δαπανηρῶν ἀνδρῶν γένος, τὸ μὲν ἀνδρειότατον ἡγούμενον αὐτῶν, τὸ δ' ἀνανδρότατον ἑπόμενον· οὓς δὴ ἀφομοιοῦμεν κηφῆσι, τοὺς μὲν κέντρα ἔχουσι, τοὺς δ' ἀκέντροις. Τούτω τοίνυν ταράττετον ἐν πάσῃ πολιτείᾳ ἐγγιγνομένω, οἷον περὶ σῶμα φλέγμα τε καὶ χολή. Ὣ δὴ καὶ δεῖ τὸν ἀγαθὸν ἰατρόν τε καὶ νομοθέτην πόλεως, μὴ ἧττον ἢ σοφὸν μελιτουργὸν, πόῤῥωθεν εὐλαβεῖσθαι, μάλιστα μὲν, ὅπως μὴ ἐγγένησθον, ἂν δὲ ἐγγένησθον, ὅπως ὅτι τάχιστα ξὺν αὐτοῖσι τοῖς κηρίοις ἐκτετμῆσθον.

Ὧδε τοίνυν λάβωμεν, ἵν' εὐκρινέστερον ἴδωμεν ὃ βουλόμεθα· τριχῇ διαστησώμεθα τῷ λόγῳ δημοκρατουμένην πόλιν, ὥσπερ οὖν καὶ ἔχει. Ἓν μὲν γάρ που τὸ τοιοῦτον γένος ἐν αὐτῇ ἐμφύεται δι' ἐξουσίαν οὐκ ἔλαττον, ἢ ἐν τῇ ὀλιγαρχουμένῃ· πολὺ δέ γε δριμύτερον ἐν ταύτῃ, ἢ ἐν ἐκείνῃ. Ἐκεῖ μὲν διὰ τὸ μὴ ἔντιμον εἶναι, ἀλλ' ἀπελαύνεσθαι τῶν ἀρχῶν, ἀγύμναστον καὶ οὐκ ἐῤῥωμένον γίγνεται· ἐν δημοκρατίᾳ δὲ, τοῦτό που τὸ προεστὼς αὐτῆς, ἐκτὸς ὀλίγων· καὶ τὸ μὲν δριμύτατον αὐτοῦ λέγει τε καὶ πράττει, τὸ δ' ἄλλο περὶ τὰ βήματα προσίζον βομβεῖ τε καὶ οὐκ ἀνέχεταί του ἄλλα λέγοντος· ὥστε πάντα ὑπὸ τοῦ τοιούτου διοικεῖται ἐν τῇ τοιαύτῃ πολιτείᾳ χωρίς τινων ὀλίγων.

Ἄλλο τοίνυν τοιόνδε ἀεὶ ἀποκρίνεται ἐκ τοῦ πλήθους· χρηματιζομένων που πάντων, οἱ, κοσμιώτατοι φύσει, ὡς τὸ πολὺ πλουσιώτατοι γίγνονται. Πλεῖστον δὴ, οἶμαι, τοῖς κηφῆσι μέλι καὶ εὐπορώτατον ἐντεῦθεν βλίττει. Πῶς γὰρ ἂν παρά γε τῶν σμικρὸν ἐχόντων τὶς βλίσειε; Πλούσιοι δὴ, οἶμαι, οἱ τοιοῦτοι καλοῦνται κηφήνων βοτάνη.

Δῆμος δ' ἂν εἴη τρίτον γένος, ὅσοι αὐτουργοί τε καὶ ἀπράγμονες, οὐ πάνυ πολλὰ κεκτημένοι· ὃ δὴ πλεῖστόν τε καὶ κυριώτατον ἐν δημοκρατίᾳ, ὅταν περ ἀθροισθῇ.

Ἔστι γάρ· ἀλλ' οὐ θαμὰ ἐθέλει ποιεῖν τοῦτο, ἐὰν μὴ μέλιτός τι μεταλαμβάνῃ. Οὐκοῦν μεταλαμβάνει ἀεὶ, καθόσον δύνανται οἱ προεστῶτες, τοὺς ἔχοντας τὴν οὐσίαν ἀφαιρούμενοι, διανέμοντες τῷ δήμῳ, τὸ πλεῖστον αὐτοὶ ἔχειν.

Ἀναγκάζονται δὴ, οἶμαι, ἀμύνεσθαι λέγοντές τε ἐν τῷ δήμῳ καὶ πράττοντες, ὅπῃ δύνανται, οὗτοι, ὧν ἀφαιροῦνται. Αἰτίαν δὴ ἔσχον ὑπὸ τῶν ἑτέρων, κἂν μὴ ἐπιθυμῶσι νεωτερίζειν, ὡς ἐπιβουλεύουσι τῷ δήμῳ καί εἰσιν ὀλιγαρχικοί. Οὐκοῦν καὶ τελευτῶντες, ἐπειδὰν ὁρῶσι τὸν δῆμον οὐχ ἑκόντα, ἀλλ' ἀγνοήσαντά τε καὶ ἐξαπατηθέντα ὑπὸ τῶν διαβαλόντων, ἐπιχειροῦντα σφᾶς ἀδικεῖν· τότ' ἤδη, εἴτε βούλονται, εἴτε μὴ, ὡς ἀληθῶς ὀλιγαρχικοὶ γίγνονται, οὐχ ἑκόντες· ἀλλὰ καὶ τοῦτο τὸ κακὸν ἐκεῖνος ὁ κηφὴν ἐντίκτει κεντῶν αὐτούς. Εἰσαγγελίαι δὴ καὶ κρίσεις καὶ ἀγῶνες περὶ ἀλλήλων γίγνονται. Οὐκοῦν ἕνα τινὰ ἀεὶ ὁ δῆμος εἴωθε διαφερόντως προΐστασθαι ἑαυτοῦ, καὶ τοῦτον τρέφειν τε καὶ αὔξειν μέγαν. Τοῦτο μὲν ἄρα δῆλον ὅτι, ὅταν περ φύηται τύραννος, ἐκ προστατικῆς ῥίζης καὶ οὐκ ἄλλοθεν ἐκβλαστάνει.

Τίς ἀρχὴ οὖν μεταβολῆς ἐκ προστάτου ἐπὶ τύραννον; ἢ δῆλον ὅτι, ἐπειδὰν ταυτὸν ἄρξηται δρᾷν ὁ προστάτης τῷ ἐν τῷ μύθῳ, ὃς περὶ τὸ ἐν Ἀρκαδίᾳ τὸ τοῦ Διὸς τοῦ Λυκαίου ἱερὸν λέγεται; ὡς ἄρα ὁ γευσάμενος τοῦ ἀνθρωπίνου σπλάγχνου, ἐν ἄλλοις ἄλλων ἱερείων ἑνὸς ἐγκαταμεμιγμένου, ἀνάγκη δὴ τούτῳ λύκῳ γενέσθαι. Ἆρ' οὖν οὕτω καὶ ὃς ἂν δήμου προεστὼς, λαβὼν σφόδρα πειθόμενον ὄχλον, μὴ ἀπόσχηται ἐμφυλίου αἵματος, ἀλλ' ἀδίκως ἐπαιτιώμενος, οἷα δὴ φιλοῦσιν, εἰς δικαστήρια ἄγων μιαιφονῇ, βίον ἀνδρὸς ἀφανίζων, γλώττῃ τε καὶ στόματι ἀνοσίῳ γευόμενος φόνου ξυγγενοῦς, καὶ ἀνδρηλατῇ καὶ ἀποκτιννύῃ καὶ ὑποσημαίνῃ χρεῶν τε ἀποκοπὰς καὶ γῆς ἀναδασμόν· ἆρα τῷ τοιούτῳ ἀνάγκη δὴ τὸ μετὰ

τοῦτο καὶ εἵμαρται, ἢ ἀπολωλέναι ὑπὸ τῶν ἐχθρῶν, ἢ τυραννεῖν καὶ λύκῳ ἐξ ἀνθρώπου γενέσθαι; Οὗτος δὴ ὁ στασιάζων γίγνεται πρὸς τοὺς ἔχοντας τὰς οὐσίας· οὗτος ἄρ' οὖν ἐκπεσὼν μὲν, καὶ κατελθὼν βίᾳ τῶν ἐχθρῶν, τύραννος ἀπειργασμένος κατέρχεται.

Ἐὰν δὲ ἀδύνατοι ἐκβάλλειν αὐτὸν ὦσιν, ἢ ἀποκτεῖναι διαβάλλοντες τῇ πόλει, βιαίῳ δὴ θανάτῳ ἐπιβουλεύουσιν ἀποκτιννύναι λάθρα. Τὸ δὴ τυραννικὸν αἴτημα τὸ πολυθρύλλητον ἐπὶ τούτῳ πάντες οἱ εἰς τοῦτο προβεβηκότες ἐξευρίσκουσιν, αἰτεῖν τὸν δῆμον φύλακάς τινας τοῦ σώματος, ἵνα σῶς αὐτοῖς ᾖ ὁ τοῦ δήμου βοηθός. Διδόασι δὴ, οἶμαι, δείσαντες μὲν ὑπὲρ ἐκείνου, θαῤῥήσαντες δὲ ὑπὲρ ἑαυτῶν.

Οὐκοῦν τοῦτο ὅταν ἴδῃ ἀνὴρ χρήματα ἔχων, καὶ μετὰ τῶν χρημάτων αἰτίαν μισόδημος εἶναι, τότε δὴ οὗτος, κατὰ τὸν Κροίσῳ γενόμενον χρησμὸν,

— πολυψηφῖδα παρ' Ἕρμον
Φεύγει, οὐδὲ μένει, οὐδ' αἰδεῖται κακὸς εἶναι.

Οὐ γὰρ ἂν δεύτερον αὖθις αἰδεσθείη. Ὁ δέ γε, οἶμαι, καταληφθεὶς θανάτῳ δίδοται.

Ὁ δὲ δὴ προστάτης ἐκεῖνος αὐτὸς τῆς πόλεως δῆλον δὴ ὅτι μέγας μεγαλωστὶ οὐ κεῖται, ἀλλὰ καταβαλὼν ἄλλους πολλοὺς, ἕστηκεν ἐν τῷ δίφρῳ, τῆς πόλεως τύραννος ἀντὶ προστάτου ἀποτετελεσμένος.

Διέλθωμεν δὴ τὴν εὐδαιμονίαν τοῦ τε ἀνδρὸς, καὶ τῆς πόλεως, ἐν ᾗ ἂν ὁ τοιοῦτος βροτὸς ἐγγένηται. Ἆρ' οὖν οὐ ταῖς μὲν πρώταις ἡμέραις τε καὶ χρόνῳ προσγελᾷ τε, καὶ ἀσπάζεται πάντας, ᾧ ἂν περιτυγχάνῃ, καὶ οὔτε τύραννος φησὶν εἶναι, ὑπισχνεῖταί τε πολλὰ ἰδίᾳ καὶ δημοσίᾳ, χρεῶν τε ἠλευθέρωσε, καὶ γῆν διένειμε δήμῳ τε καὶ τοῖς περὶ ἑαυτὸν, καὶ πᾶσιν ἵλεώς τε καὶ πατρῷος εἶναι προσποιεῖται; Ὅταν δέ γε, οἶμαι, πρὸς τοὺς ἔξω ἐχθροὺς, τοῖς μὲν καταλλαγῇ, τοὺς δὲ καὶ διαφθείρῃ, καὶ ἡσυχία ἐκεί-

νων γένηται, πρῶτον μὲν πολέμους τινὰς ἀεὶ κινεῖ, ἵν' ἐν χρείᾳ ἡγεμόνος ὁ δῆμος ᾖ· οὐκοῦν καὶ ἵνα χρήματα εἰσφέροντες, πένητες γιγνόμενοι, πρὸς τὸ καθ' ἡμέραν ἀναγκάζωνται εἶναι, καὶ ἧττον αὐτῷ ἐπιβουλεύωσι· καὶ ἄν γέ τινας, οἶμαι, ὑποπτεύῃ, ἐλεύθερα φρονήματα ἔχοντας, μὴ ἐπιτρέψειν αὐτῷ ἄρχειν, ὅπως ἂν τούτους μετὰ προφάσεως ἀπολλύῃ, ἐνδοὺς τοῖς πολεμίοις. Τούτων πάντων ἕνεκα τυράννῳ ἀεὶ ἀνάγκη πόλεμον ταράττειν· ταῦτα δὴ ποιοῦντα, ἕτοιμον μᾶλλον ἀπεχθάνεσθαι τοῖς πολίταις.

Οὐκοῦν καί τινας τῶν ξυγκαταστησάντων καὶ τῶν ἐν δυνάμει ὄντων παῤῥησιάζεσθαι, καὶ πρὸς αὐτὸν, καὶ πρὸς ἀλλήλους ἐπιπλήττοντας τοῖς γιγνομένοις, οἳ ἂν τυγχάνωσιν ἀνδρικώτατοι ὄντες. Ὑπεξαιρεῖν δὴ τούτους πάντας δεῖ τὸν τύραννον, εἰ μέλει ἄρξειν, ἕως ἂν μήτε φίλων μήτ' ἐχθρῶν λίπῃ μηδένα, ὅτου τι ὄφελος. Ὀξέως ἄρα δεῖ ὁρᾷν αὐτὸν τίς ἀνδρεῖος, τίς μεγαλόφρων, τίς φρόνιμος, τίς πλούσιος. Καὶ οὕτως εὐδαίμων ἐστὶν, ὥστε τούτοις ἅπασιν ἀνάγκη αὐτῷ, εἴτε βούλεται, εἴτε μὴ, πολεμίῳ εἶναι καὶ ἐπιβουλεύειν, ἕως καθήρῃ τὴν πόλιν. Ναὶ, τὸν ἐναντίον καθαρμὸν, ἢ οἱ ἰατροὶ τὰ σώματα· οἱ μὲν γὰρ, τὸ χείριστον ἀφαιροῦντες, λείπουσι τὸ βέλτιστον· ὁ δὲ τοὐναντίον. Ὡς ἔοικε γὰρ, αὐτῷ ἀνάγκη, εἴπερ ἄρξει. Ἐν μακαρίᾳ ἄρα ἀνάγκῃ δέδεται, ἣ προστάττει αὐτῷ, ἢ μετὰ φαύλων τῶν πολλῶν οἰκεῖν καὶ ὑπὸ τούτων μισούμενον, ἢ μὴ ζῆν.

Ἆρ' οὖν οὐχὶ, ὅσῳ ἂν μᾶλλον τοῖς πολίταις ἀπεχθάνηται ταῦτα δρῶν, τοσούτῳ πλειόνων καὶ πιστοτέρων δορυφόρων δεήσεται; Τίνες οὖν οἱ πιστοί; καὶ πόθεν αὐτοὺς μεταπέμψεται;—Αὐτόματοι πολλοὶ ἥξουσι πετόμενοι, ἐὰν τὸν μισθὸν διδῷ.—Κηφῆνας, νὴ τὸν κύνα, δοκεῖς αὖ τινάς μοι λέγειν ξενικούς τε καὶ παντοδαπούς. Τοὺς δὲ αὐτόθεν ἆρ' οὐκ ἂν ἐθελήσειε; Πῶς; Τοὺς δούλους, ἀφελόμενος τοὺς πολίτας, ἐλευθερώσας, τῶν περὶ ἑαυτὸν δορυφόρων ποιήσασθαι. Σφόδρα γε, ἐπεί τοι καὶ πιστότατοι αὐτῷ αὗτοί εἰ-

σιν. Ἦ μακάριον λέγεις τυράννου χρῆμα, εἰ τοιούτοις φίλοις τε καὶ πιστοῖς ἀνδράσι χρῆται, τοὺς προτέρους ἐκείνους ἀπολέσας. Καὶ θαυμάζουσι δὴ οὗτοι οἱ ἑταῖροι αὐτὸν καὶ ξύνεισιν οἱ νέοι πολῖται· οἱ δ' ἐπιεικεῖς μισοῦσί τε καὶ φεύγουσιν.

Οὐκ ἐτὸς ἥ τε τραγῳδία ὅλως σοφὸν δοκεῖ εἶναι, καὶ ὁ Εὐριπίδης διαφέρων ἐν αὐτῇ· ὅτι καὶ τοῦτο πυκνῆς διανοίας ἐχόμενον ἐφθέγξατο, ὡς ἄρα

Σοφοὶ τύραννοι (εἰσὶ) τῇ σοφῶν ξυνουσίᾳ,

καὶ ἔλεγε δῆλον ὅτι τούτους εἶναι τοὺς σοφοὺς οἷς ξύνεστι. Καὶ ὡς ἰσόθεόν γε τὴν τυραννίδα ἐγκωμιάζει, καὶ ἕτερα πολλὰ, καὶ οὗτος, καὶ οἱ ἄλλοι ποιηταί. Τοιγάρτοι, ἅτε σοφοὶ ὄντες οἱ τῆς τραγῳδίας ποιηταὶ, ξυγγιγνώσκουσιν ἡμῖν τε καὶ ἐκείνοις, ὅσοι ἡμῶν ἐγγὺς πολιτεύονται, ὅτι αὐτοὺς εἰς τὴν πολιτείαν οὐ παραδεξόμεθα, ἅτε τυραννίδος ὑμνητάς. Εἰς δέ γε, οἶμαι, τὰς ἄλλας περιϊόντες πόλεις, ξυλλέγοντες τοὺς ὄχλους, καλὰς φωνὰς καὶ μεγάλας καὶ πιθανὰς μισθωσάμενοι, εἰς τυραννίδας τε καὶ δημοκρατίας ἕλκουσι τὰς πολιτείας. Οὐκοῦν καὶ προσέτι τούτων μισθοὺς λαμβάνουσι καὶ τιμῶνται, μάλιστα μὲν, ὥσπερ τὸ εἰκὸς, ὑπὸ τυράννων, δεύτερον δὲ ὑπὸ δημοκρατίας· ὅσῳ δ' ἂν ἀνωτέρω ἴωσι πρὸς τὸ ἄναντες τῶν πολιτειῶν, μᾶλλον ἀπαγορεύει αὐτῶν ἡ τιμὴ, ὥσπερ ὑπὸ ἄσθματος ἀδυνατοῦσα πορεύεσθαι.

Ἀλλὰ δὴ ἐνταῦθα μὲν ἐξέβημεν· λέγωμεν δὲ πάλιν, ἐκεῖνο τὸ τοῦ τυράννου στρατόπεδον τὸ καλόν τε καὶ πολὺ καὶ ποικίλον καὶ οὐδέποτε ταυτὸν, πόθεν θρέψεται. Δῆλον ὅτι, ἐάν τε ἱερὰ χρήματα ᾖ ἐν τῇ πόλει, ταῦτα ἀναλώσει, ὅποι ποτὲ ἂν ἀεὶ ἐξαρκῇ τὰ τῶν ἀποδομένων, ἐλάττους εἰσφορὰς ἀναγκάζων τὸν δῆμον εἰσφέρειν. Τί δ', ὅταν δὴ ταῦτα ἐπιλίπῃ; Δῆλον ὅτι ἐκ τῶν πατρῴων θρέψεται, αὐτός τε, καὶ οἱ ξυμπόται τε καὶ ἑταῖροι καὶ ἑταῖραι. Μανθάνω ὅτι ὁ δῆμος, ὁ γεννήσας τὸν τύραννον, θρέψει αὐ-

τόν τε καὶ ἑταίρους· πολλὴ αὐτῷ ἀνάγκη. Πῶς λέγεις; ἐάν τε ἀγανακτῇ τε καὶ λέγῃ ὁ δῆμος, ὅτι οὔτε δίκαιον τρέφεσθαι ὑπὸ πατρὸς υἱὸν ἡβῶντα, ἀλλὰ τοὐναντίον ὑπὸ υἱέως πατέρα, οὔτε τούτου αὐτὸν ἕνεκα ἐγέννησέ τε καὶ κατέστησεν, ἵνα, ἐπειδὴ μέγας γένοιτο, τότε αὐτὸς δουλεύων τοῖς αὑτοῦ δούλοις, τρέφοι ἐκεῖνόν τε καὶ τοὺς δούλους μετὰ ξυγκλύδων ἄλλων, ἀλλ' ἵνα ἀπὸ τῶν πλουσίων τε καὶ καλῶν κἀγαθῶν λεγομένων ἐν τῇ πόλει ἐλευθερωθείη, ἐκείνου προστάντος· καὶ νῦν κελεύει ἀπιέναι ἐκ τῆς πόλεως αὐτόν τε καὶ τοὺς ἑταίρους, ὥσπερ πατὴρ υἱὸν ἐξ οἰκίας μετὰ ὀχληρῶν ξυμποτῶν ἐξελαύνων; Γνώσεταί γε, νὴ Δία, τότ' ἤδη ὁ δῆμος, οἷος οἷον θρέμμα γεννῶν ἠσπάζετό τε καὶ ηὖξε, καὶ ὅτι ἀσθενέστερος ὢν ἰσχυροτέρους ἐξελαύνει. Πῶς λέγεις; τολμήσει τὸν πατέρα βιάζεσθαι, κἂν μὴ πείθηται, τύπτειν ὁ τύραννος; Ναί, ἀφελόμενός γε τὰ ὅπλα.

Πατραλοίαν λέγεις τύραννον καὶ χαλεπὸν γηροτρόφον, καί, ὡς ἔοικε, τοῦτο δὴ ὁμολογουμένη ἂν ἤδη τυραννὶς εἴη· καὶ τὸ λεγόμενον, ὁ δῆμος, φεύγων ἂν καπνὸν δουλείας ἐλευθέρων, εἰς πῦρ δούλων δεσποτείας ἂν ἐμπεπτωκὼς εἴη, ἀντὶ τῆς πολλῆς ἐκείνης καὶ ἀκαίρου ἐλευθερίας τὴν χαλεπωτάτην τε καὶ πικροτάτην δούλων δουλείαν μεταμπισχόμενος.

De Republica, viii.

TYRANNUS.

Ἆρ' οὖν καὶ τὸ πάλαι τύραννος ὁ ἔρως λέγεται; οὔκουν καὶ μεθυσθεὶς ἀνὴρ τυραννικόν τι φρόνημα ἴσχει; καὶ μὴν ὅγε μαινόμενος καὶ ὑποκεκινηκὼς οὐ μόνον ἀνθρώπων, ἀλλὰ καὶ θεῶν ἐπιχειρεῖ τε καὶ ἐλπίζει

δυνατὸς εἶναι ἄρχειν· τυραννικὸς δὲ ἀνὴρ ἀκριβῶς γίγνεται, ὅταν ἢ φύσει, ἢ ἐπιτηδεύμασιν, ἢ ἀμφοτέροις, μεθυστικός τε, καὶ ἐρωτικὸς, καὶ μελαγχολικὸς γένηται.

Γίγνεται μὲν, ὡς ἔοικεν, οὕτω ὁ τοιοῦτος ἀνὴρ, ζῇ δὲ δὴ πῶς; Λέγω δή· οἶμαι γὰρ, τὸ μετὰ τοῦτο ἑορταὶ γίγνονται παρ' αὐτοῖς, καὶ κῶμοι, καὶ θαλίαι, καὶ ἑταῖραι, καὶ τὰ τοιαῦτα πάντα, ὧν ἂν ἔρως τύραννος ἔνδον οἰκῶν διακυβερνᾷ τὰ τῆς ψυχῆς ἅπαντα. Ἆρ' οὖν οὐ πολλαὶ καὶ δειναὶ παραβλαστάνουσιν ἐπιθυμίαι ἡμέρας τε καὶ νυκτὸς ἑκάστης, πολλῶν δεόμεναι; Ταχὺ ἄρα ἀναλίσκονται, ἐάν τινες ὦσι πρόσοδοι. Καὶ μετὰ τοῦτο δὴ δανεισμοὶ καὶ τῆς οὐσίας παραιρέσεις. Ὅταν δὲ δὴ πάντ' ἐπιλίπῃ, ἆρα οὐκ ἀνάγκη μὲν τὰς ἐπιθυμίας βοᾷν πυκνάς τε καὶ σφοδρὰς ἐννενεοττευμένας, τοὺς δ' ὥσπερ ὑπὸ κέντρων ἐλαυνομένους, τῶν τε ἄλλων ἐπιθυμιῶν, καὶ διαφερόντως ὑπ' αὐτοῦ τοῦ ἔρωτος πάσαις ταῖς ἄλλαις, ὥσπερ δορυφόροις, ἡγουμένου, οἰστρᾷν καὶ σκοπεῖν τίς τι ἔχει, ὃν δυνατὸν ἀφελέσθαι ἀπατήσαντα ἢ βιασάμενον; Ἀναγκαῖον δὴ πανταχόθεν φέρειν, ἢ μεγάλαις ὠδῖσί τε καὶ ὀδύναις ξυνέχεσθαι.

Ἆρ' οὖν, ὥσπερ αἱ ἐν αὐτῷ ἡδοναὶ ἐπιγιγνόμεναι τῶν ἀρχαίων πλεῖον εἶχον καὶ τὰ ἐκείνων ἀφῃροῦντο, οὕτω καὶ αὐτὸς ἀξιώσει, νεώτερος ὢν, πατρός τε καὶ μητρὸς πλέον ἔχειν καὶ ἀφαιρεῖσθαι, ἐὰν τὸ αὐτοῦ μέρος ἀναλώσῃ, ἀπονειμάμενος τῶν πατρῴων; Ἐὰν δὲ δὴ αὐτῷ μὴ ἐπιτρέπωσιν, ἆρα οὐ τὸ μὲν πρῶτον ἐπιχειροῖ ἂν κλέπτειν καὶ ἀπατᾷν τοὺς γονέας; Ὁπότε δὲ μὴ δύναιτο, ἁρπάζοι ἂν καὶ βιάζοιτο μετὰ τοῦτο; Ἀντεχομένων δὲ καὶ μαχομένων γέροντός τε καὶ γραὸς, ἆρ' εὐλαβηθείη ἂν, καὶ φείσαιτο, μή τι δρᾶσαι τυραννικόν; Ἀλλὰ, πρὸς Διὸς, ἕνεκα νεωστὶ φίλης καὶ οὐκ ἀναγκαίας ἑταίρας γεγονυίας, τὴν πάλαι φίλην καὶ ἀναγκαίαν μητέρα, ἢ ἕνεκα ὡραίου νεωστὶ φίλου γεγονότος οὐκ ἀναγκαίου, τὸν ἄωρόν τε καὶ ἀναγκαῖον

πρεσβύτην πατέρα, καὶ τῶν φίλων ἀρχαιότατον, δοκεῖ ἄν σοι ὁ τοιοῦτος πληγαῖς τε δοῦναι, καὶ καταδουλώσασθαι ἂν αὐτοὺς ὑπ᾽ ἐκείνοις, εἰ εἰς τὴν αὐτὴν οἰκίαν ἀγάγοιτο; Σφόδρα γε μακάριον ἔοικεν εἶναι τὸ τυραννικὸν υἱὸν τεκεῖν.

Τί δ᾽; ὅταν δὴ τὰ πατρὸς καὶ μητρὸς ἐπιλείπῃ τὸν τοιοῦτον, πολὺ δὲ ἤδη ξυνειλεγμένον ἐν αὐτῷ ᾖ τὸ τῶν ἡδονῶν σμῆνος, οὐ πρῶτον μὲν οἰκίας τινὸς ἐφάψεται τοίχου, ἤ τινος ὀψὲ νύκτωρ ἰόντος τοῦ ἱματίου, μετὰ δὲ ταῦτα ἱερόν τι νεωκορήσει; καὶ ἐν τούτοις δὴ πᾶσιν, ἃς πάλαι εἶχε δόξας ἐκ παιδὸς, περὶ καλῶν τε καὶ αἰσχρῶν τὰς δίκας ποιουμένας, αἱ νεωστὶ ἐκ δουλείας λελυμέναι, δορυφοροῦσαι τὸν ἔρωτα, κρατήσουσι μετ᾽ ἐκείνου; Αἳ πρότερον μὲν ὄναρ ἐλύοντο ἐν ὕπνῳ, ὅτε ἦν αὐτὸς ἔτι ὑπὸ νόμοις τε καὶ πατρὶ δημοκρατούμενος ἐν ἑαυτῷ· τυραννευθεὶς δὲ ὑπὸ ἔρωτος, οἷος ὀλιγάκις ἐγίγνετο ὄναρ, ὕπαρ τοιοῦτος ἀεὶ γενόμενος, οὔτε τινὸς φόνου δεινοῦ ἀφέξεται, οὔτε βρώματος, οὔτ᾽ ἔργου. Ἀλλὰ τυραννικὸς ἐν αὐτῷ ὁ ἔρως ἐν πάσῃ ἀναρχίᾳ καὶ ἀνομίᾳ ζῶν, ἅτε αὐτὸς ὢν μόναρχος, τὸν ἔχοντα αὐτὸν, ὥσπερ πόλιν, ἄξει ἐπὶ πᾶσαν τόλμαν, ὅθεν αὐτόν τε καὶ τὸν περὶ αὐτὸν θόρυβον θρέψει, τὸν μὲν ἔξωθεν εἰσεληλυθότα ἀπὸ κακῆς ὁμιλίας, τὸν δ᾽ ἔνδοθεν ὑπὸ τῶν αὐτῶν τρόπων καὶ ἑαυτοῦ ἀνεθέντα καὶ ἐλευθερωθέντα· ἢ οὐχ οὗτος ὁ βίος τοῦ τοιούτου;

Καὶ ἂν μέν γε ὀλίγοι οἱ τοιοῦτοι ἐν πόλει ὦσι, καὶ τὸ ἄλλο πλῆθος σωφρονῇ, ἐξελθόντες, ἄλλον τινὰ δορυφοροῦσι τύραννον, ἢ μισθοῦ ἐπικουροῦσιν, ἐάν που πόλεμος ᾖ· ἐὰν δ᾽ ἐν εἰρήνῃ τε καὶ ἡσυχίᾳ γένωνται, αὐτοῦ δὴ ἐν τῇ πόλει κακὰ δρῶσι σμικρὰ πολλά· τὰ ποῖα δή; οἷα κλέπτουσι, τοιχωρυχοῦσι, βαλαντιοτομοῦσι, λωποδυτοῦσιν, ἱεροσυλοῦσιν, ἀνδραποδίζονται· ἔστι δ᾽ ὅτε συκοφαντοῦσιν, ἐὰν δυνατοὶ ὦσι λέγειν, καὶ ψευδομαρτυροῦσι, καὶ δωροδοκοῦσι. Τὰ δὲ σμικρὰ

πρὸς τὰ μεγάλα σμικρά ἐστι· καὶ ταῦτα δὴ πάντα, πρὸς τύραννον πονηρίᾳ τε καὶ ἀθλιότητι πόλεως παραβαλλόμενα, τὸ λεγόμενον, οὐδ᾽ ἴκταρ βάλλει.

Ὅταν γὰρ δὴ πολλοὶ ἐν πόλει γένωνται οἱ τοιοῦτοι καὶ ἄλλοι οἱ ξυνεπόμενοι αὐτοῖς, καὶ αἴσθωνται ἑαυτῶν τὸ πλῆθος, τότε οὗτοί εἰσιν οἱ τὸν τύραννον γεννῶντες μετὰ δήμου ἀνοίας ἐκεῖνον, ὃς ἂν αὐτῶν μάλιστα αὐτὸς ἐν αὐτῷ μέγιστον καὶ πλεῖστον ἐν τῇ ψυχῇ τύραννον ἔχῃ. Εἰκότως γε· τυραννικώτατος γὰρ ἂν εἴη. Οὐκοῦν ἐάν μὲν ἑκόντες ὑπείκωσιν· ἐὰν δὲ μὴ ἐπιτρέπῃ ἡ πόλις, ὥσπερ τότε μητέρα καὶ πατέρα ἐκόλαζεν, οὕτω πάλιν τὴν πατρίδα, ἐὰν οἷός τ᾽ ᾖ, κολάσεται, ἐπεισαγόμενος νέους ἑταίρους, καὶ ὑπὸ τούτοις δὴ δουλεύουσαν τὴν πάλαι φίλην μητρίδα τε, Κρῆτές φασι, καὶ πατρίδα, ἕξει τε καὶ θρέψει· καὶ τοῦτο δὴ τὸ τέλος ἂν εἴη τῆς ἐπιθυμίας τοῦ τοιούτου ἀνδρός.

Οὐκοῦν οὗτοί γε τοιόνδε γίγνονται ἰδίᾳ, καὶ πρὶν ἄρχειν· πρῶτον μὲν, οἷς ἂν ξυνῶσιν, ἢ κόλαξιν ἑαυτῶν ξυνόντες καὶ πᾶν ἑτοίμοις ὑπηρετεῖν, ἢ, ἐάν πού τι δέωνται, αὐτοὶ ὑποπεσόντες, πάντα τὰ σχήματα τολμῶντες ποιεῖν ὡς οἰκεῖοι, διαπραξάμενοι δὲ, ἀλλότριοι· ἐν παντὶ ἄρα τῷ βίῳ ζῶσι φίλοι μὲν οὐδέποτε οὐδενὶ, ἀεὶ δέ του δεσπόζοντες ἢ δουλεύοντες ἄλλῳ· ἐλευθερίας δὲ καὶ φιλίας ἀληθοῦς τυραννικὴ φύσις ἀεὶ ἄγευστος· ἆρ᾽ οὖν οὐκ ὀρθῶς ἂν τοὺς τοιούτους ἀπίστους καλοῖμεν, καὶ μὴν ἀδίκους γε, ὡς οἷόν τε μάλιστα; Κεφαλαιωσώμεθα τοίνυν τὸν κάκιστον· ἔστι δέ που, οἷον ὄναρ διήλθομεν, ὃς ἂν ὕπαρ τοιοῦτος ᾖ. Οὐκοῦν οὗτος γίγνεται, ὃς ἂν, τυραννικώτατος φύσει ὢν, μοναρχήσῃ· καὶ ὅσῳ ἂν πλείω χρόνον ἐν τυραννίδι βιῷ, τοσούτῳ μᾶλλον τοιοῦτος.

Ἆρ᾽ οὖν, ὃς ἂν φαίνηται πονηρότατος, καὶ ἀθλιώτατος φανήσεται; καὶ ὃς ἂν πλεῖστον χρόνον καὶ μάλιστα τυραννεύσῃ, μάλιστά τε καὶ πλεῖστον χρόνον τοιοῦτος γεγονὼς τῇ ἀληθείᾳ; τοῖς δὲ πολλοῖς πολλὰ δοκεῖ. Ἄλλο τι οὖν

ὅγε τυραννικὸς κατὰ τὴν τυραννουμένην πόλιν ἂν εἴη ὁμοιότητι, δημοκρατικὸς δὲ κατὰ τὴν δημοκρατουμένην, καὶ οἱ ἄλλοι οὕτω; Οὔκουν, ὅ τι πόλις πρὸς πόλιν ἀρετῇ καὶ εὐδαιμονίᾳ, τοῦτο ἀνὴρ πρὸς ἄνδρα; Τί οὖν ἄρα ἡ τυραννουμένη πόλις πρὸς βασιλευομένην; — Πᾶν τοὐναντίον· ἡ μὲν γὰρ ἀρίστη, ἡ δὲ κακίστη. — Οὐκ ἐρήσομαι ὁποτέραν λέγεις· δῆλον γάρ· ἀλλ᾽ εὐδαιμονίας αὖ καὶ ἀθλιότητος ὡσαύτως, ἢ ἄλλως κρίνεις; Καὶ μὴ ἐκπληττώμεθα πρὸς τὸν τύραννον ἕνα ὄντα βλέποντες, μηδ᾽ εἴ τινες ὀλίγοι περὶ ἐκεῖνον· ἀλλ᾽, ὡς χρὴ, ὅλην τὴν πόλιν εἰσελθόντες θέασασθαι, καταδύντες εἰς ἅπασαν, καὶ ἰδόντες, οὕτω δόξαν ἀποφαινώμεθα. Καὶ δῆλον παντὶ, ὅτι τυραννουμένης μὲν οὐκ ἔστιν ἀθλιωτέρα, βασιλευομένης δὲ οὐκ εὐδαιμονεστέρα.

Ἆρ᾽ οὖν καὶ περὶ τῶν ἀνδρῶν τὰ αὐτὰ ταῦτα προκαλούμενος, ὀρθῶς ἂν προκαλοίμην, ἀξιῶν κρίνειν περὶ αὐτῶν ἐκεῖνον, ὃς ἂν δύνηται τῇ διανοίᾳ εἰς ἀνδρὸς ἦθος ἐνδὺς διϊδεῖν, καὶ μὴ, καθάπερ παῖς, ἔξωθεν ὁρῶν ἐκπλήττηται ὑπὸ τῆς τῶν τυραννικῶν προστάσεως, ἣν πρὸς τοὺς ἔξω σχηματίζεται, ἀλλ᾽ ἱκανως διορᾷ· εἰ οὖν οἰοίμην δεῖν ἐκείνου πάντας ἡμᾶς ἀκούειν τοῦ δυνατοῦ μὲν κρῖναι, ξυνῳκηκότος δὲ ἐν τῷ αὐτῷ καὶ παραγεγονότος ἔν τε ταῖς κατ᾽ οἰκίαν πράξεσιν, ὡς πρὸς ἑκάστους τοὺς οἰκείους ἔχει, ἐν οἷς μάλιστά τις γυμνὸς ἂν ὀφθείη τῆς τραγικῆς σκευῆς, καὶ ἐν αὖ τοῖς δημοσίοις κινδύνοις· καὶ ταῦτα πάντα ἰδόντα κελεύοιμεν ἐξαγγέλλειν, πῶς ἔχει εὐδαιμονίας καὶ ἀθλιότητος ὁ τύραννος πρὸς τοὺς ἄλλους; Βούλει οὖν, προσποιησώμεθα ἡμεῖς εἶναι τῶν δυνατῶν ἂν κρῖναι καὶ ἤδη ἐντυχόντων τοιούτοις, ἵνα ἔχωμεν, ὅς τις ἀποκρινεῖται ἃ ἐρωτῶμεν;

Ἴθι δή μοι, ὧδε σκόπει· τὴν ὁμοιότητα ἀναμιμνησκόμενος τῆς τε πόλεως καὶ τοῦ ἀνδρὸς, οὕτω καθ᾽ ἕκαστον ἐν μέρει ἀθρῶν, τὰ παθήματα ἑκατέρου λέγε. Πρῶτον μὲν; ὡς πόλιν εἰπεῖν, ἐλευθέραν ἢ δούλην τὴν τυραννουμέ-

νην ἐρεῖς; Ὡς οἷόν τε μάλιστα δούλην. Καὶ μὴν ὁρᾷς γε ἐν αὐτῇ δεσπότας καὶ ἐλευθέρους. Ὁρῶ σμικρόν γέ τι τοῦτο· τὸ δὲ ὅλον, ὡς ἔπος εἰπεῖν, ἐν αὐτῇ καὶ τὸ ἐπιεικέστατον ἀτίμως τε καὶ ἀθλίως δοῦλον. Εἰ οὖν ὅμοιος ἀνὴρ τῇ πόλει, οὐ καὶ ἐν ἐκείνῳ ἀνάγκη τὴν αὐτὴν τάξιν ἐνεῖναι, καὶ πολλῆς μὲν δουλείας τε καὶ ἀνελευθερίας γέμειν τὴν ψυχὴν αὐτοῦ; καὶ ταῦτα αὐτῆς τὰ μέρη δουλεύειν, ἅπερ ἦν ἐπιεικέστατα, σμικρὸν δὲ καὶ τὸ μοχθηρότατον καὶ μανικώτατον δεσπόζειν; Τί οὖν; δούλην ἢ ἐλευθέραν τὴν τοιαύτην φήσεις εἶναι ψυχήν; Δούλην δή που. Οὔκουν ἥ γε αὖ δούλη καὶ τυραννουμένη πόλις ἥκιστα ποιεῖ, ἃ βούλεται; Πολύ γε. Καὶ ἡ τυραννουμένη ἄρα ψυχὴ ἥκιστα ποιήσει ἃ ἂν βουληθῇ, ὡς περὶ ὅλης εἰπεῖν ψυχῆς· ὑπὸ δὲ οἴστρου ἀεὶ ἑλκομένη βίᾳ, ταραχῆς καὶ μεταμελείας μεστὴ ἔσται. Πῶς γὰρ οὔ; Πλουσίαν δὲ, ἢ πενομένην ἀνάγκη τὴν τυραννουμένην πόλιν εἶναι; Πενομένην. Καὶ ψυχὴν ἄρα τυραννικὴν, πενιχρὰν καὶ ἄπληστον ἀνάγκη ἀεὶ εἶναι. Οὕτως. Τί δέ; φόβου γέμειν ἆρ᾽ οὐκ ἀνάγκη τήν γε τοιαύτην πόλιν, τόν τε τοιοῦτον ἄνδρα; Πολύ γε. Ὀδυρμοὺς δὲ καὶ στεναγμοὺς καὶ θρήνους καὶ ἀλγηδόνας οἴει ἔν τινι ἄλλῃ πλείους εὑρήσειν; Οὐδαμῶς. Ἐν ἀνδρὶ δὲ ἡγεῖ τὰ τοιαῦτα ἐν ἄλλῳ τινὶ πλείω εἶναι, ἢ ἐν τῷ μαινομένῳ ὑπὸ ἐπιθυμιῶν τε καὶ ἐρώτων τούτῳ τῷ τυραννικῷ;

Εἰς πάντα δὴ, οἶμαι, ταῦτά τε καὶ ἄλλα τοιαῦτα ἀποβλέψας, τήν γε πόλιν τῶν πόλεων ἀθλιωτάτην ἔκρινας. Καὶ μάλα· ἀλλὰ περὶ τοῦ ἀνδρὸς αὖ τοῦ τυραννικοῦ τί λέγεις, εἰς ταυτὰ ταῦτα ἀποβλέπων; Μακρῷ ἀθλιώτατον εἶναι τῶν ἄλλων ἁπάντων. Τοῦτο οὐκέτ᾽ ὀρθῶς λέγεις· οὔπω, οἶμαι, οὗτός ἐστιν ὁ τοιοῦτος μάλιστα· ὅδε ἴσως σοὶ ἔτι δόξει εἶναι τούτου ἀθλιώτερος, ὃς ἂν, τυραννικὸς ὢν, μὴ ἰδιώτην βίον καταβιῷ, ἀλλὰ δυστυχὴς ᾖ, καὶ αὐτῷ ὑπό τινος ξυμφορᾶς ἐκπορισθῇ, ὥστε τυράννῳ γενέσθαι. Τεκμαίρομαί σε ἐκ τῶν προειρημένων ἀληθῆ λέγειν· ἀλλὰ οὐκ οἴεσθαι χρὴ τὰ τοιαῦτα, ἀλλ᾽ εὖ μάλα

τῷ τοιούτῳ λόγῳ σκοπεῖν· περὶ γάρ τοι τοῦ μεγίστου ἡ σκέψις, ἀγαθοῦ τε βίου καὶ κακοῦ.

Σκόπει δὴ, εἰ ἄρα τὶ λέγω· δοκεῖ γάρ μοι δεῖν ἐννοῆσαι, περὶ αὐτοῦ σκοποῦντας, ἐξ ἑνὸς ἑκάστου τῶν ἰδιωτῶν, ὅσοι πλούσιοι ἐν πόλεσιν ἀνδράποδα πολλὰ κέκτηνται· οὗτοι γὰρ τοῦτό γε προσόμοιον ἔχουσι τοῖς τυράννοις, τὸ πολλῶν ἄρχειν· διαφέρει δὲ τὸ ἐκείνου πλῆθος. Οἶσθα οὖν ὅτι οὗτοι ἀδεῶς ἔχουσι, καὶ οὐ φοβοῦνται τοὺς οἰκέτας· τί γὰρ ἂν φοβοῖντο; Ἀλλὰ τὸ αἴτιον ἐννοεῖς; Ναί· ὅτι γε πᾶσα ἡ πόλις ἑνὶ ἑκάστῳ βοηθεῖ τῶν ἰδιωτῶν. Τί δέ; εἴ τις θεῶν ἄνδρα ἕνα, ὅτῳ ἐστὶν ἀνδράποδα πεντήκοντα ἢ καὶ πλείω, ἄρας ἐκ τῆς πόλεως αὐτόν τε καὶ γυναῖκα καὶ παῖδας, θείη εἰς ἐρημίαν μετὰ τῆς ἄλλης οὐσίας τε καὶ τῶν οἰκετῶν, ὅπου αὐτῷ μηδεὶς τῶν ἐλευθέρων μέλλοι βοηθήσειν· ἐν ποίῳ ἄν τινι καὶ ὁπόσῳ φόβῳ οἴει ἂν γενέσθαι αὐτὸν περί τε αὑτοῦ καὶ παίδων καὶ γυναικὸς, μὴ ἀπόλοιντο ὑπὸ τῶν οἰκετῶν; Οὔκουν ἀναγκάζοιτο ἄν τινας ἤδη θωπεύειν αὐτῶν τῶν δούλων, καὶ ὑπισχνεῖσθαι πολλὰ, καὶ ἐλευθεροῦν, οὐδὲν δεόμενος, καὶ κόλαξ αὐτὸς ἂν θεραπόντων ἀναφανείη; πολλὴ ἀνάγκη αὐτῷ, ἢ ἀπολωλέναι. Τί δ', εἰ καὶ ἄλλους ὁ θεὸς κύκλῳ κατοικίσειε γείτονας πολλοὺς αὐτῷ, οἳ ἂν μὴ ἀνέχοιντο, εἴ τις ἄλλος ἄλλου δεσπόζειν ἀξιοῖ, ἀλλ', εἴ πού τινα τοιοῦτον λαμβάνοιεν, ταῖς ἐσχάταις τιμωροῖντο τιμωρίαις; Ἔτι ἂν, οἶμαι, μᾶλλον ἐν παντὶ κακοῦ εἴη, κύκλῳ φρουρούμενος ὑπὸ πάντων πολεμίων.

Ἆρ' οὖν οὐκ ἐν τοιούτῳ μὲν δεσμωτηρίῳ δέδεται ὁ τύραννος, φύσει ὢν, οἷον διεληλύθαμεν, πολλῶν καὶ παντοδαπῶν φόβων καὶ ἐρώτων μεστός; Λίχνῳ δὲ ὄντι αὐτῷ τὴν ψυχὴν, μόνῳ τῶν ἐν τῇ πόλει οὔτε ἀποδημῆσαι ἔξεστιν οὐδαμόσε, οὔτε θεωρῆσαι, ὅσων δὴ καὶ οἱ ἄλλοι ἐλεύθεροι ἐπιθυμηταί εἰσι· καταδεδυκὼς δὲ ἐν τῇ οἰκίᾳ τὰ πολλὰ, ὡς γυνὴ, ζῇ, φθονῶν καὶ τοῖς ἄλλοις πολίταις, ἐάν τις ἔξω ἀποδημῇ καί τι ἀγαθὸν ὁρᾷ.

Οὔκουν τοῖς τοιούτοις κακοῖς πλείω καρποῦται ὁ ἀνὴρ

ὃς ἂν, κακῶς ἐν ἑαυτῷ πολιτευόμενος, ὃν νῦν δὴ σὺ ἀθλιώτατον ἔκρινας τὸν τυραννικὸν, ὡς μὴ ἰδιώτης καταβιῷ, ἀλλ᾽ ἀναγκασθῇ ὑπό τινος τύχης τυραννεῦσαι, καὶ, ἑαυτοῦ ὢν ἀκράτωρ, ἄλλων ἐπιχειρήσῃ ἄρχειν; ὥσπερ εἴ τις κάμνοντι σώματι καὶ ἀκράτορι ἑαυτοῦ, μὴ ἰδιωτεύων, ἀλλ᾽ ἀγωνιζόμενος πρὸς ἄλλα σώματα καὶ μαχόμενος ἀναγκάζοιτο διάγειν τὸν βίον. Οὔκουν παντελῶς τὸ πάθος ἄθλιον, καὶ τοῦ ὑπὸ σοῦ κριθέντος χαλεπώτατα ζῆν χαλεπώτερον ἔτι ζῇ ὁ τυραννῶν; Ἔστιν ἄρα τῇ ἀληθείᾳ, κἂν εἰ μή τῳ δοκῇ, ὁ τῷ ὄντι τύραννος, τῷ ὄντι δοῦλος τὰς μεγίστας θωπείας καὶ δουλείας, καὶ κόλαξ τῶν πονηροτάτων· καὶ τὰς ἐπιθυμίας οὐδ᾽ ὁπωστιοῦν ἀποπιμπλὰς, ἀλλὰ πλείστων ἐπιδεέστατος, καὶ πένης τῇ ἀληθείᾳ φαίνεται, ἐάν τις ψυχὴν ἐπίστηται θεάσασθαι· καὶ φόβου γέμων διὰ παντὸς τοῦ βίου, σφαδασμῶν τε καὶ ὀδυνῶν πλήρης, εἴπερ τῇ τῆς πόλεως διαθέσει, ἧς ἄρχει, ἔοικεν· οὐκοῦν καὶ πρὸς τούτοις ἔτι ἀποδώσομεν τῷ ἀνδρὶ καὶ ἃ τὸ πρότερον εἴπομεν, ὅτι ἀνάγκη καὶ εἶναι, καὶ ἔτι μᾶλλον γίγνεσθαι αὐτῷ ἢ πρότερον διὰ τὴν ἀρχὴν, φθονερῷ, ἀπίστῳ, ἀδίκῳ, ἀφίλῳ, ἀνοσίῳ, καὶ πάσης κακίας πανδοκεῖ τε καὶ τροφεῖ.

Καὶ ἐξ ἁπάντων τούτων μάλιστα μὲν αὐτῷ δυστυχεῖ εἶναι, ἔπειτα δὲ καὶ τοὺς πλησίον αὐτῷ τοιούτους ἀπεργάζεσθαι.

De Republica, IX.

LITTERÆ DATÆ
AD SYRACUSANOS.

Εὖ πράττειν. Ἃ δ᾽ ἂν διανοηθέντες μάλιστα, εὖ πράττοιτε ὄντως, πειράσομαι ταῦθ᾽ ὑμῖν κατὰ δύναμιν διεξελ-

θεῖν. Ἐλπίζω δὲ οὐχ ὑμῖν μόνοις ξυμβουλεύσειν τὰ ξυμφέροντα πᾶσι τοῖς ἐν Συρακούσαις, ὑμῶν δὲ καὶ τοῖς ἐχθροῖς καὶ πολεμίοις, πλὴν εἴ τις αὐτῶν ἀνοσιουργὸς γέγονε· ταῦτα γὰρ ἀνίατα, καὶ οὐκ ἄν ποτέ τις αὐτὰ ἐκνίψειε. Νοήσατε δὴ ἃ λέγω νῦν.

Ἔσθ' ὑμῖν κατὰ Σικελίαν πᾶσαν, λελυμένης τῆς τυραννίδος, πᾶσα μάχη περὶ αὐτῶν τούτων· τῶν μὲν βουλομένων ἀναλαβεῖν πάλιν τὴν ἀρχήν· τῶν δὲ τῇ τῆς τυραννίδος ἀποφυγῇ τέλος ἐπιθεῖναι. Ξυμβουλὴ δὴ περὶ τῶν τοιούτων ὀρθὴ δοκεῖ ἑκάστοτε τοῖς πολλοῖς εἶναι, ταῦτα ξυμβουλεύειν δεῖν, ἃ τοὺς μὲν πολεμίους ὡς πλεῖστα κακὰ ἐξεργάσεται, τοὺς δὲ φίλους ὡς πλεῖστα ἀγαθά· τὸ δὲ οὐδαμῶς ῥᾴδιον, πολλὰ κακὰ δρῶντα τοὺς ἄλλους, μὴ οὐ καὶ πάσχειν αὐτὸν πολλὰ ἕτερα. Δεῖ δὲ, οὐ μακρὰν ἐλθόντας ποι, τὰ τοιαῦτα ἐναργῶς ἰδεῖν· ἀλλ' ὅσα νῦν γέγονε τῇδε αὐτοῦ περὶ Σικελίαν, τῶν μὲν ἐπιχειρούντων δρᾷν, τῶν δὲ ἀμύνασθαι τοὺς δρῶντας, ἃ κᾂν ἄλλοις μυθολογοῦντες ἱκανοὶ γίγνοισθ' ἂν ἑκάστοτε διδάσκαλοι, τούτων μὲν δὴ σχεδὸν οὐκ ἀπορία.

Τῶν δὲ ὅσα γένοιτ' ἂν ἢ πᾶσι ξυμφέροντα ἐχθροῖς τε καὶ φίλοις, ἢ ὅτι σμικρότατα κακὰ ἀμφοῖν, ταῦτα οὔτε ῥᾴδιον ὁρᾷν, οὔτε ἰδόντα ἐπιτελεῖν. Εὐχῇ δὲ προσέοικεν ἡ τοιαύτη ξυμβουλή τε καὶ ἐπιχείρησις τοῦ λόγου· ἔστω δὴ παντάπασι μὲν εὐχή τις· ἀπὸ γὰρ θεῶν χρὴ πάντα ἀρχόμενον ἀεὶ λέγειν τε καὶ νοεῖν. Ἐπιτελὴς δ' εἴη, σημαίνουσα ἡμῖν τοιόνδε τινὰ λόγον.

Νῦν ὑμῖν καὶ τοῖς πολεμίοις σχεδὸν, ἐξ οὗπερ γέγονεν ὁ πόλεμος, ξυγγένεια ἄρχει μία διὰ τέλους, ἥν ποτε κατέστησαν οἱ πατέρες ὑμῶν εἰς ἀπορίαν ἐλθόντες τὴν ἅπασαν, τόθ' ὅτε κίνδυνος ἐγένετο ἔσχατος Σικελίᾳ τῇ τῶν Ἑλλήνων, ὑπὸ Καρχηδονίων ἀνάστατον ὅλην ἐκβαρβαρωθεῖσαν γενέσθαι. Τότε γὰρ εἵλοντο Διονύσιον μὲν, ὡς νέον καὶ πολεμικὸν, ἐπὶ τὰς τοῦ πολέμου πρεπούσας αὐτῷ πράξεις· ξύμβουλον δὲ, καὶ πρεσβύτερον, Ἱππαρίνου·

ἐπὶ σωτηρίᾳ τῆς Σικελίας αὐτοκράτορας, ὥς φασι, τυράννους ἐπονομάζοντες. Καὶ, εἴτε δὴ θείαν τὶς ἡγεῖσθαι βούλεται τύχην καὶ θεὸν, εἴτε τὴν τῶν ἀρχόντων ἀρετὴν, εἴτε καὶ τὸ ξυναμφότερον, μετὰ τῶν τότε πολιτῶν τῆς σωτηρίας αἰτίαν ξυμβῆναι γενομένην, ἔστω ταύτῃ ὅπῃ τὶς ὑπολαμβάνει· σωτηρία δ' οὖν οὕτω ξυνέβη τοῖς τότε γενομένοις· τοιούτων οὖν αὐτῶν γεγονότων, δίκαιόν που τοῖς σώσασι πάντας χάριν ἔχειν. Εἰ δέ τι τὸν μετέπειτα χρόνον ἡ τυραννὶς οὐκ ὀρθῶς τῇ τῆς πόλεως δωρεᾷ κατακέχρηται, τούτων δίκας τὰς μὲν ἔχει, τὰ δὲ τινέτω. Τίνες οὖν δὴ δίκαι ἀναγκαίως ὀρθαὶ γίγνοιντ' ἂν ἐκ τῶν ὑπαρχόντων αὐτοῖς; Εἰ μὲν ῥᾳδίως ὑμεῖς ἀποφυγεῖν οἷοί τ' ἦτε αὐτοὺς καὶ ἄνευ μεγάλων κινδύνων καὶ πόνων, ἢ 'κεῖνοι ἑλεῖν εὐπετῶς πάλιν τὴν ἀρχὴν, οὐδ' ἂν ξυμβουλεύειν οἷόν τ' ἦν τὰ μέλλοντα ῥηθήσεσθαι· νῦν δ' ἐννοεῖν ὑμᾶς ἀμφοτέρους χρεὼν καὶ ἀναμιμνήσκεσθαι, ποσάκις ἐν ἐλπίδι ἑκάτεροι γεγόνατε τοῦ νῦν οἴεσθαι σχεδὸν ἀεὶ τινὸς σμικροῦ ἐπιδεεῖς εἶναι τὸ μὴ πάντα κατὰ νοῦν πράττειν· καὶ δὴ καὶ ὅτι τὸ σμικρὸν τοῦτο μεγάλων καὶ μυρίων κακῶν αἴτιον ἑκάστοτε ξυμβαίνει γιγνόμενον. Καὶ πέρας οὐδέν ποτε τελεῖται· ξυνάπτει δὲ ἀεὶ παλαιὰ τελευτὴ δοκοῦσα, ἀρχὴ φυομένη νέα. Διολέσθαι δ' ὑπὸ τοῦ κύκλου τούτου κινδυνεύσει καὶ τὸ τυραννικὸν ἅπαν, καὶ τὸ δημοτικὸν γένος· ἥξει δὲ, ἐάνπερ τῶν εἰκότων γίγνηταί τι καὶ ἀπευκτῶν, σχεδὸν εἰς ἐρημίαν τῆς Ἑλληνικῆς φωνῆς Σικελία πᾶσα, Φοινίκων ἢ Ὀπικῶν μεταβαλοῦσα εἴς τινα δυναστείαν καὶ κράτος.

Τούτων δὴ χρὴ πάσῃ προθυμίᾳ πάντας τοὺς Ἕλληνας τέμνειν φάρμακον. Εἰ μὲν δή τις ὀρθότερον ἄμεινόν τ' ἔχει τοῦ ὑπ' ἐμοῦ ῥηθησομένου, ἐνεγκὼν εἰς τὸ μέσον, ὀρθότατα φιλέλλην ἂν λεχθείη. Ὃ δέ μοι φαίνεταί πῃ, τανῦν ἐγὼ πειράσομαι πάσῃ παῤῥησίᾳ καὶ κοινῷ τινι δικαίῳ λόγῳ χρώμενος δηλοῦν. Λέγω γὰρ δὴ, διαιτητοῦ τινὰ τρόπον διαλεγόμενος, ὡς δυοῖν τυραννεύσαντί τε

καὶ τυραννευθέντι, ὡς ἑνὶ ἑκατέρῳ παλαιὰν ἐμὴν ξυμβουλήν.

Καὶ νῦν δ' ὅγ' ἐμὸς λόγος ἂν εἴη ξύμβουλος τυράννῳ παντί· Φεύγειν μὲν τοὔνομά τε καὶ τοὖργον τοῦτο· εἰς βασιλείαν δὲ, εἰ δυνατὸν εἴη, μεταβαλεῖν· δυνατὸν δὲ, ὡς ἔδειξεν ἔργῳ σοφὸς ἀνὴρ καὶ ἀγαθὸς Λυκοῦργος. Ὅς, ἰδὼν τὸ τῶν οἰκείων γένος ἐν Ἄργει καὶ Μεσσήνῃ ἐκ βασιλέων εἰς τυράννων δύναμιν ἀφικομένους, καὶ διαφθείραντας ἑαυτούς τε καὶ τὴν πόλιν ἑκατέρους ἑκατέραν, δείσας περὶ τῆς αὑτοῦ πόλεως ἅμα καὶ γένους, φάρμακον ἐπήνεγκε τὴν τῶν γερόντων ἀρχὴν, καὶ τὸν τῶν ἐφόρων δασμὸν, τῆς βασιλικῆς ἀρχῆς σωτήριον· ὥστε γενεὰς τοσαύτας ἤδη μετ' εὐκλείας σώζεσθαι, νόμος ἐπειδὴ κύριος ἐγένετο βασιλεὺς τῶν ἀνθρώπων, ἀλλ' οὐκ ἄνθρωποι τύραννοι νόμων.

Ὃ δὴ καὶ νῦν οὑμὸς λόγος πᾶσι παρακελεύεται· τοῖς μὲν τυραννίδος ἐφιεμένοις, ἀποτρέπεσθαι καὶ φεύγειν φυγῇ ἀπλήστῳ πεινώντων εὐδαιμόνισμα ἀνθρώπων καὶ ἀνοήτων· εἰς βασιλέως δ' εἶδος πειρᾶσθαι μεταβάλλειν, καὶ δουλεῦσαι νόμοις βασιλικοῖς, τὰς μεγίστας τιμὰς κεκτημένους παρ' ἑκόντων τε ἀνθρώπων καὶ τῶν νόμων.

Τοῖς δὲ δὴ ἐλεύθερα διώκουσιν ἤθη, καὶ φεύγουσι τὸν δούλειον ζυγὸν, ὡς ὂν κακὸν, εὐλαβεῖσθαι ξυμβουλεύοιμ' ἂν μή ποτε, ἀπληστίᾳ ἐλευθερίας ἀκαίρου τινὸς, εἰς τὸ τῶν προγόνων νόσημα ἐμπέσωσιν· ὃ διὰ τὴν ἄγαν ἀναρχίαν οἱ τότε ἔπαθον, ἀμέτρῳ ἐλευθερίας χρώμενοι ἔρωτι. Οἱ γὰρ πρὸ Διονυσίου καὶ Ἱππαρίνου ἄρξαντες Σικελιῶται, τότε, ὡς ᾤοντο, εὐδαιμόνως ἔζων, τρυφῶντές τε καὶ ἅμα ἀρχόντων ἄρχοντες· οἳ καὶ τοὺς δέκα στρατηγοὺς κατέλυσαν βάλλοντες τοὺς πρὸ Διονυσίου, κατὰ νόμον οὐδένα κρίναντες, ἵνα δὴ δουλεύοιεν μηδενὶ μήτε ξὺν δίκῃ, μήτε νόμῳ δεσπότῃ, ἐλεύθεροι δ' εἶεν πάντῃ πάντως. Ὅθεν αἱ τυραννίδες ἐγένοντο αὐτοῖς· δουλεία γὰρ καὶ ἐλευθερία,

ὑπερβάλλουσα μὲν ἑκατέρα, πάγκακον· ἔμμετρος δὲ οὖσα, πανάγαθον. Μετρία δὲ ἡ Θεῷ δουλεία· ἄμετρος δὲ, ἡ τοῖς ἀνθρώποις. Θεὸς δὲ ἀνθρώποις σώφροσι, νόμος· ἄφροσι δὲ, ἡδονή.

Τούτων δὴ ταύτῃ πεφυκότων, ἃ ξυμβουλεύω Συρακουσίοις πᾶσι, φράζειν παρακελεύομαι τοῖς Δίωνος φίλοις, ἐκείνου καὶ ἐμὴν κοινὴν ξυμβουλήν· ἐγὼ δὲ ἑρμηνεύσω ἃ ἐκεῖνος ἔμπνους ὢν καὶ δυνάμενος εἶπε νῦν πρὸς ὑμᾶς. Τίν' οὖν δὴ, τὶς ἂν εἴποι, λόγον ἀποφαίνεται ἡμῖν περὶ τῶν νῦν παρόντων ἡ Δίωνος ξυμβουλή; τόνδε·

Δέξασθε, ὦ Συρακούσιοι, πάντων πρῶτον νόμους, οἵτινες ἂν ὑμῖν φαίνωνται μὴ πρὸς χρηματισμὸν καὶ πλοῦτον τρέψοντες τὰς γνώμας ὑμῶν, μήτ' ἐπιθυμίας. Ἀλλ', ὄντων τριῶν, ψυχῆς, καὶ σώματος, ἔτι δὲ χρημάτων, πρώτην μὲν τὴν τῆς ψυχῆς ἐπιμέλειαν ἔχειν δεῖ· δευτέραν δὲ, τὴν τοῦ σώματος, ὑπὸ τῇ τῆς ψυχῆς κειμένην· τρίτην δὲ καὶ ὑστάτην, τὴν τῶν χρημάτων τιμὴν, δουλεύουσαν τῷ σώματί τε καὶ τῇ ψυχῇ· καὶ ὁ μὲν ταῦτα ἀπεργαζόμενος θεσμὸς, νόμος ἂν ὀρθῶς ὑμῖν εἴη κείμενος, ὄντως εὐδαίμονας ἀποτελῶν τοὺς χρωμένους. Ὁ δὲ τοὺς πλουσίους εὐδαίμονας ὀνομάζων λόγος, αὐτός τε ἄθλιος, γυναικῶν καὶ παίδων ὢν λόγος ἄνους, τοὺς πειθομένους τε ἀπεργάζεται τοιούτους. Ὅτι δ' ἀληθῆ ταῦτ' ἐγὼ παρακελεύομαι, ἐὰν γεύσησθε τῶν νῦν λεγομένων περὶ νόμων, ἔργῳ γνώσεσθε· ἣ δὴ βάσανος ἀληθεστάτη δοκεῖ γίγνεσθαι τῶν πάντων πέρι.

Δεξάμενοι δὲ τοὺς τοιούτους νόμους, ἐπειδὴ κατέχει κίνδυνος Σικελίαν, καὶ οὔτε κρατεῖτε ἱκανῶς, οὔτ' αὖ διαφερόντως κρατεῖσθε, δίκαιον ἂν ἴσως καὶ ξυμφέρον γίγνοιτο ὑμῖν πᾶσι μέσον τεμεῖν, τοῖς τε φεύγουσι τῆς ἀρχῆς τὴν χαλεπότητα ὑμῖν, καὶ τοῖς τῆς ἀρχῆς πάλιν ἐρῶσι τυχεῖν· ὧν οἱ πρόγονοι, τό γε μέγιστον, ἔσωσαν ἀπὸ βαρβάρων τοὺς Ἕλληνας, ὥστ' ἐξεῖναι περὶ πολιτείας νῦν ποιεῖσθαι λόγους· ἐῤῥουσι δὲ τότε, οὔτε λόγος,

οὔτ᾽ ἐλπὶς ἐλείπετ᾽ ἂν οὐδαμῆ οὐδαμῶς. Νῦν οὖν, τοῖς μὲν ἐλευθερία γιγνέσθω μετὰ βασιλικῆς ἀρχῆς· τοῖς δὲ ἀρχὴ ὑπεύθυνος βασιλικὴ, δεσποζόντων νόμων τῶν τε ἄλλων πολιτῶν, καὶ τῶν βασιλέων αὐτῶν, ἄν τι παράνομον πράττωσιν.

Ἐπὶ δὲ τούτοις ξύμπασιν, ἀδόλῳ γνώμῃ καὶ ὑγιεῖ μετὰ θεῶν βασιλέα στήσασθε, πρῶτον μὲν, τὸν ἐμὸν υἱὸν χαρίτων ἕνεκα διττῶν, τῆς τε παρ᾽ ἐμοῦ, καὶ τῆς παρὰ τοῦ ἐμοῦ πατρός. Ὁ μὲν γὰρ ἀπὸ βαρβάρων ἠλευθέρωσεν ἐν τῷ τότε χρόνῳ πόλιν· ἐγὼ δὲ ἀπὸ τυράννων νῦν δίς· ὧν αὐτοὶ μάρτυρες ὑμεῖς γεγόνατε. Δεύτερον δὲ δὴ ποιεῖθε βασιλέα, τὸν τῷ μὲν ἐμῷ πατρὶ ταυτὸν κεκτημένον ὄνομα, υἱὸν δὲ Διονυσίου, χάριν τῆς τε νῦν βοηθείας καὶ ὁσίου τρόπου· ὃς, γενόμενος τυράννου πατρὸς, ἑκὼν τὴν πόλιν ἐλευθεροῖ, τιμὴν αὐτῷ καὶ γένει ἀείζωον ἀντὶ τυραννίδος ἐφημέρου καὶ ἀδίκου κτώμενος. Τρίτον δὲ προκαλεῖσθαι χρὴ βασιλέα γίγνεσθαι Συρακουσῶν, ἑκόντα ἑκούσης τῆς πόλεως, τὸν νῦν τοῦ τῶν πολεμίων ἄρχοντα στρατοπέδου, Διονύσιον τὸν Διονυσίου· ἐὰν ἐθέλῃ ἑκὼν εἰς βασιλέως σχῆμα ἀπαλλάττεσθαι, δεδιὼς μὲν τὰς τύχας, ἐλεῶν δὲ πατρίδα, καὶ ἱερῶν ἀθεραπευσίαν καὶ τάφους, μὴ διὰ φιλονεικίαν πάντως πάντα ἀπολέσῃ, βαρβάροις ἐπίχαρτος γενόμενος.

Τρεῖς δ᾽ ὄντας βασιλέας, εἴτ᾽ οὖν τὴν Λακωνικὴν δύναμιν αὐτοῖς δόντες, εἴτε ἀφελόντες καὶ ξυνομολογήσαντες, καταστήσατε τρόπῳ τινὶ τοιῷδε, ὃς εἴρηται μὲν καὶ πρότερον ὑμῖν· ὅμως δ᾽ ἔτι καὶ νῦν ἀκούετε.

Ἐὰν ἐθέλῃ τὸ γένος ὑμῖν τὸ Διονυσίου τε καὶ Ἱππαρίνου ἐπὶ σωτηρίᾳ Σικελίας παύσασθαι τῶν νῦν παρόντων κακῶν, τιμὰς αὐτοῖς καὶ γένει λαβόντες εἴς τε τὸν ἔπειτα καὶ τὸν νῦν χρόνον, ἐπὶ τούτοις καλεῖτε, ὥσπερ καὶ πρότερον ἐῤῥήθη, πρέσβεις, οὓς ἂν ἐθελήσωσι, κυρίους ποιησάμενοι τῶν διαλλαγῶν, εἴτε τινὰς αὐτό-

θεν, εἴτε ἔξωθεν, εἴτε ἀμφότερα, καὶ ὁπόσους ἂν ξυγχωρήσωσι. Τούτους δ' ἐλθόντας, νόμους μὲν πρῶτον θεῖναι καὶ πολιτείαν τοιαύτην, ἐν ᾗ βασιλέας ἁρμόττει γίγνεσθαι κυρίους ἱερῶν τε καὶ ὅσων ἄλλων πρέπει τοῖς γενομένοις ποτὲ εὐεργέταις· πολέμου δὲ καὶ εἰρήνης ἄρχοντας, νομοφύλακας ποιήσασθαι ἀριθμὸν τριάκοντα καὶ πέντε, μετά τε δήμου καὶ βουλῆς· δικαστήρια δὲ, ἄλλα μὲν ἄλλων· θανάτου δὲ καὶ φυγῆς, τούς τε πέντε καὶ τριάκοντα ὑπάρχειν· πρὸς τούτοις τε, ἐκλεκτοὺς γίγνεσθαι δικαστὰς ἐκ τῶν νῦν ἀεὶ περυσινῶν ἀρχόντων, ἕνα ἀφ' ἑκάστης τῆς ἀρχῆς τὸν ἄριστον δόξαντ' εἶναι καὶ δικαιότατον· τούτους δὲ τὸν ἐπιόντα ἐνιαυτὸν δικάζειν ὅσα θανάτου καὶ δεσμοῦ καὶ μεταστάσεως τῶν πολιτῶν· βασιλέα δὲ τῶν τοιούτων δικῶν μὴ ἐξεῖναι δικαστὴν γίγνεσθαι, καθάπερ ἱερέα, φόνου καθαρεύοντα καὶ δεσμοῦ καὶ φυγῆς.

Ταῦθ' ὑμῖν ἐγὼ καὶ ζῶν διενοήθην γίγνεσθαι, καὶ νῦν διανοοῦμαι. Καὶ τότε κρατήσας τῶν ἐχθρῶν, μεθ' ὑμῶν, εἰ μὴ ξενικαὶ ἐριννύες ἐκώλυσαν, κατέστησα ἂν ᾗπερ καὶ διενοούμην· καὶ μετὰ ταῦτα Σικελίαν ἂν τὴν ἄλλην, εἴπερ ἔργα ἐπὶ νῷ ἐγίγνετο, κατῴκισα· τοὺς μὲν βαρβάρους, ἣν νῦν ἔχουσιν, ἀφελόμενος, ὅσοι μὴ ὑπὲρ τῆς κοινῆς ἐλευθερίας διεπολέμησαν πρὸς τὴν τυραννίδα· τοὺς δ' ἔμπροσθεν οἰκητὰς τῶν Ἑλληνικῶν τόπων εἰς τὰς ἀρχαίας καὶ πατρῴας οἰκήσεις κατοικίσας.

Ταῦτα δὲ ταῦτα καὶ νῦν πᾶσι ξυμβουλεύω κοινῇ διανοηθῆναι, καὶ πράττειν τε, καὶ παρακαλεῖν ἐπὶ ταύτας τὰς πράξεις πάντας· τὸν μὴ ἐθέλοντα δὲ, πολέμιον ἡγεῖσθαι κοινῇ. Ἔστι δὲ ταῦτα οὐκ ἀδύνατα· ἃ γὰρ ἐν δυοῖν τε ὄντα ψυχαῖν τυγχάνει, καὶ λογισαμένοις εὑρεῖν βέλτιστα ἑτοίμως ἔχει, ταῦτα δὲ σχεδὸν ὁ κρίνων ἀδύνατα, οὐκ εὖ φρονεῖ· λέγω δὲ τὰς δύο, τήν τε Ἱππαρίνου τοῦ Διονυσίου υἱέως, καὶ τὴν τοῦ

ἐμοῦ υἱοῦ· τούτοιν γὰρ ξυνομολογησάντοιν, τοῖς γε ἄλλοις Συρακουσίοις οἶμαι καὶ πᾶσιν, ὅσοι περ τῆς πόλεως κήδονται, ξυνδοκεῖν. Ἀλλὰ θεοῖς τε πᾶσι τιμὰς μετ᾽ εὐχῶν δόντες, τοῖς τε ἄλλοις, ὅσοις μετὰ θεῶν πρέπει, πείθοντες καὶ προκαλούμενοι φίλους καὶ διαφόρους μαλακῶς τε καὶ πάντως μὴ ἀποστῆτε, πρὶν ἂν τὰ νῦν ὑφ᾽ ἡμῶν λεχθέντα, οἷον ὀνείρατα θεῖα ἐπιστάντα ἐγρηγορόσιν, ἐναργῆ τε ἐξεργάσησθε τελεσθέντα καὶ εὐτυχῆ.

EPIST. VIII.

PRÆSES INSTITUENDÆ JUVENTUTIS.

Ἔστω ἄρχων ἡμῖν ὁ τῆς παιδείας ἐπιμελητὴς πάσης θηλειῶν τε καὶ ἀῤῥένων· εἷς μὲν δὴ καὶ ὁ τούτων ἄρξων ἔστω κατὰ νόμους. Ἐτῶν μὲν γεγονὼς μὴ ἔλαττον, ἢ πεντήκοντα· παίδων δὲ γνησίων πατὴρ, μάλιστα μὲν υἱέων καὶ θυγατέρων, εἰ δὲ μὴ, θατέρα. Διανοηθήτω δὲ αὐτός τε ὁ προκριθεὶς, καὶ ὁ προκρίνων, ὡς οὖσαν ταύτην τὴν ἀρχὴν τῶν ἐν τῇ πόλει ἀκροτάτων ἀρχῶν πολὺ μεγίστην.

Παντὸς γὰρ δὴ φυτοῦ ἡ πρώτη βλάστη, καλῶς ὁρμηθεῖσα πρὸς ἀρετὴν τῆς αὐτοῦ φύσεως, κυριωτάτη τέλος ἐπιθεῖναι τὸ πρόσφορον, τῶν τε ἄλλων φυτῶν, καὶ τῶν ζώων ἡμέρων καὶ ἀγρίων, καὶ ἀνθρώπων. Ἄνθρωπος δὲ, ὡς φαμὲν, ἥμερον· ὅμως μὴν παιδείας μὲν ὀρθῆς τυχὸν καὶ φύσεως εὐτυχοῦς, θειότατον ἡμερώτατόν τε ζῶον γίγνεσθαι φιλεῖ· μὴ ἱκανῶς δὲ ἢ μὴ καλῶς τραφὲν, ἀγριώτατον ὁπόσα φύει γῆ. Ὧν ἕνεκα οὐ δεύτερον οὐδὲ πάρεργον δεῖ τὴν παίδων τροφὴν τὸν νομοθέτην ἐᾶν γίγνεσθαι· πρῶτον δὲ ἄρξασθαι χρεὼν τὸν μέλλοντα

αὐτῶν ἐπιμελεῖσθαι καλῶς, αἱρεθῆναι τῶν ἐν τῇ πόλει ὃς ἂν ἄριστος εἰς πάντα ᾖ, τοῦτον κατὰ δύναμιν ὅτι μάλιστα αὐτοῖς καθιστάντα προστάτην καὶ ἐπιμελητήν.

Αἱ πᾶσαι τοίνυν ἀρχαὶ, πλὴν βουλῆς καὶ πρυτανέων εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν ἐλθοῦσαι, φερόντων ψῆφον κρύβδην τῶν νομοφυλάκων, ὅντιν' ἂν ἕκαστος ἡγῆται κάλλιστ' ἂν τῶν περὶ παιδείαν ἄρξαι γενομένων. Ὧ δ' ἂν πλεῖσται ψῆφοι ξυμβῶσι, δοκιμασθεὶς ὑπὸ τῶν ἄλλων ἀρχόντων τῶν ἑλομένων, πλὴν νομοφυλάκων, ἀρχέτω ἔτη πέντε· ἕκτῳ δὲ, κατὰ ταυτὰ, ἄλλον ἐπὶ ταύτην τὴν ἀρχὴν αἱρεῖσθαι......

Πάλιν δὴ τὸν τὰ πλεῖστα ἕξοντα πράγματα καλῶμεν τὸν τῶν παίδων ἐπιμελητὴν, ὃς, τῶν τε περὶ μουσικὴν, τῶν τε περὶ γυμνασικὴν ἐπιμελούμενος, οὐ πολλὴν ἕξει σχολήν. Πῶς οὖν δυνατὸς ἔσται, πρεσβύτερος ὢν, τοσούτων ἐπιμελεῖσθαι; Ῥᾳδίως· ὁ νόμος γὰρ αὐτῷ δέδωκε καὶ δώσει προσλαμβάνειν εἰς ταύτην τὴν ἐπιμέλειαν τῶν πολιτῶν ἀνδρῶν καὶ γυναικῶν οὓς ἂν ἐθέλῃ· γνώσεται δὲ οὓς δεῖ, καὶ βουλήσεται μὴ πλημμελεῖν εἰς ταῦτα, αἰδούμενος ἐμφρόνως καὶ γιγνώσκων τῆς ἀρχῆς τὸ μέγεθος, λογισμῷ τε ξυνὼν, ὡς, εὖ μὲν τραφέντων καὶ τρεφομένων τῶν νέων, πάντα ἡμῖν κατ' ὀρθὸν πλεῖ, μὴ δέ.... οὔτ' εἰπεῖν ἄξιον, οὔθ' ἡμεῖς λέγομεν, ἐπὶ καινῇ πόλει τοὺς σφόδρα φιλομαντευτὰς σεβόμενοι.

De Legibus, vi, vii.

HOMERUS.

Τί δὲ δή; εἰ μέλλουσιν εἶναι ἀνδρεῖοι, ἆρ᾽ οὐ ταῦτά τ λεκτέον καὶ οἷα αὐτοὺς ποιῆσαι ἥκιστα τὸν θάνατον δεδιέναι; ἢ ἡγεῖ τινά ποτ᾽ ἂν γενέσθαι ἀνδρεῖον, ἔχοντα ἐν αὑτῷ τοῦτο τὸ δεῖμα; Τί δέ; τὰν᾽ ᾅδου ἡγούμενον εἶναί τε καὶ δεινὰ εἶναι, οἴει τινὰ θανάτου ἀδεῆ ἔσεσθαι, καὶ ἐν ταῖς μάχαις αἱρήσεσθαι πρὸ ἥττης τε καὶ δουλείας θάνατον; Δεῖ δὴ, ὡς ἔοικεν, ἡμᾶς ἐπιστατεῖν καὶ περὶ τούτων τῶν μύθων τοῖς ἐπιχειροῦσι λέγειν, καὶ δεῖσθαι μὴ λοιδορεῖν ἁπλῶς οὕτω τὰ ἐν ᾅδου, ἀλλὰ μᾶλλον ἐπαινεῖν, ὡς οὔτ᾽ ἀληθῆ λέγοντας, οὔτ᾽ ὠφέλιμα τοῖς μέλλουσι μαχίμοις ἔσεσθαι. Ἐξαλείψωμεν ἄρα, ἀπὸ τοῦδε τοῦ ἔπους ἀρξάμενοι, πάντα τὰ τοιαῦτα·

Βουλοίμην κ᾽ ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ
Ἀνδρὶ παρ᾽ ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
Ἢ πᾶσι νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.

Καὶ τό,

Οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη
Σμερδαλέ᾽, εὐρώεντα, τά τε στυγέουσι θεοί περ.

Καί,

Ὢ πόποι, ἦ ῥά τις ἐστὶ καὶ εἰν ἀΐδαο δόμοισι
Ψυχὴ καὶ εἴδωλον· ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν.

Καὶ τό,

Οἴῳ πεπνύσθαι· τοὶ δὲ σκιαὶ ἀΐσσουσι.

Καί,

Ψυχὴ δ᾽ ἐκ ῥεθέων πταμένη ἄϊδόσδε βεβήκει,
Ὃν πότμον γοόωσα, λιποῦσ᾽ ἀνδροτῆτα καὶ ἥβην.

Καί,

Ψυχὴ δὲ κατὰ χθονὸς, ἠΰτε καπνὸς,
Ὤιχετο τετριγυῖα.

Καί,

Ὡς δ' ὅτε νυκτερίδες μυχῷ ἄντρου θεσπεσίοιο
Τρίζουσαι ποτέονται, ἐπεί κέ τις ἀποπέσῃσιν
Ὁρμαθοῦ ἐκ πέτρης, ἀνά τ' ἀλλήλῃσιν ἔχονται·
Ὣς αἱ τετριγυῖαι ἅμ' ᾔεσαν.

Ταῦτα καὶ τὰ τοιαῦτα πάντα παραιτησόμεθα Ὅμηρόν τε καὶ τοὺς ἄλλους ποιητὰς μὴ χαλεπαίνειν ἂν διαγράφωμεν, οὐχ ὡς οὐ ποιητικὰ καὶ ἡδέα τοῖς πολλοῖς ἀκούειν· ἀλλ' ὅσῳ ποιητικώτερα, τοσούτῳ ἧττον ἀκουστέον παισὶ καὶ ἀνδράσιν, οὓς δεῖ ἐλευθέρους εἶναι, δουλείαν θανάτου μᾶλλον πεφοβημένους. Οὔκουν ἔτι καὶ τὰ περὶ ταῦτα ὀνόματα πάντα, δεινά τε καὶ φοβερὰ, ἀποβλητέα, Κωκυτούς τε, καὶ Στύγας, καὶ ἐνέρους, καὶ ἀλίβαντας, καὶ ὅσα ἄλλα τούτου τοῦ τύπου ὀνομαζόμενα φρίττειν δὴ ποιεῖ ὡς οἷόν τε πάντας τοὺς ἀκούοντας; Καὶ ἴσως εὖ ἔχει πρὸς ἄλλο τι· ἡμεῖς δὲ ὑπὲρ τῶν φυλάκων φοβούμεθα, μὴ ἐκ τῆς τοιαύτης φρίκης θερμότεροι καὶ μαλακώτεροι τοῦ δέοντος γένωνται ἡμῖν. Ἀφαιρετέα ἄρα· τὸν δὲ ἐναντίον τύπον τούτοις λεκτέον τε καὶ ποιητέον.

Καὶ τοὺς ὀδυρμοὺς ἄρα ἐξαιρήσομεν καὶ τοὺς οἴκτους τοὺς τῶν ἐλλογίμων ἀνδρῶν. Σκόπει δὴ, εἰ ὀρθῶς ἐξαιρήσομεν, ἢ οὔ. Φαμὲν δὲ δή, ὅτι ὁ ἐπιεικὴς ἀνὴρ τῷ ἐπιεικεῖ, οὗπερ καὶ ἑταῖρός ἐστιν, τὸ τεθνάναι οὐ δεινὸν ἡγήσεται. Οὐκ ἄρα ὑπέρ γ' ἐκείνου, ὡς δεινόν τι πεπονθότος, ὀδύροιτ' ἄν. Ἀλλὰ μὴν καὶ τόδε λέγομεν, ὡς ὁ τοιοῦτος μάλιστα αὐτὸς αὑτῷ αὐτάρκης πρὸς τὸ εὖ ζῆν, καὶ διαφερόντως τῶν ἄλλων ἥκιστα ἑτέρου προσδεῖται. Ἥκιστ' ἄρα αὐτῷ δεινὸν στερηθῆναι υἱέως, ἢ ἀδελφοῦ, ἢ χρημάτων, ἢ

ἄλλου τοῦ τῶν τοιούτων. Ἥκιστ' ἄρα καὶ ὀδύρεσθαι, φέρειν δὲ ὡς πρᾳότατα, ὅταν τὶς αὐτὸν τοιαύτη ξυμφορὰ καταλάβῃ. Ὀρθῶς ἄρα ἐξαιροῖμεν τοὺς θρήνους τῶν ὀνομαστῶν ἀνδρῶν, γυναιξὶ δ' ἀποδιδοῖμεν, καὶ οὐδὲ ταύταις σπουδαίαις, καὶ ὅσοι κακοὶ τῶν ἀνδρῶν, ἵνα ἡμῖν δυσχεραίνωσιν ὅμοια τούτοις ποιεῖν, οὓς δὴ φαμὲν ἐπὶ φυλακῇ τῆς χώρας τρέφειν. Πάλιν δὴ Ὁμήρου τε δεησόμεθα καὶ τῶν ἄλλων ποιητῶν, μὴ ποιεῖν Ἀχιλλέα, θεᾶς παῖδα,

Ἄλλοτ' ἐπὶ πλευρᾶς κατακείμενον, ἄλλοτε δ' αὖτε
Ὕπτιον, ἄλλοτε δὲ πρηνῆ, τότε δ' ὀρθὸν—ἀναστάντα,
Πλωΐζοντ'—ἀλύοντ' ἐπὶ θῖν' ἁλὸς ἀτρυγέτοιο·

μηδὲ ἀμφοτέρῃσι χερσὶν ἑλόντα κόνιν αἰθαλόεσσαν, χευάμενον κὰκ κεφαλῆς· μηδὲ ἄλλα κλᾳοντά τε καὶ ὀδυρόμενον, ὅσα καὶ οἷα ἐκεῖνος ἐποίησε· μηδὲ Πρίαμον, ἐγγὺς θεῶν γεγονότα, λιτανεύοντά τε καὶ

κυλινδόμενον κατὰ κόπρου,
Ἐξονομακλήδην ὀνομάζοντ' ἄνδρα ἕκαστον.

Πολὺ δ' ἔτι τούτων μᾶλλον δεησόμεθα, μήτοι θεούς γε ποιεῖν ὀδυρομένους καὶ λέγοντας,

Ὤμοι ἐγὼ δειλή, ὤμοι δυσαριστοτόκεια.

Εἰ δ' οὖν θεοὺς, μήτοι τόν γε μέγιστον τῶν θεῶν τολμῆσαι οὕτως ἀνομοίως μιμήσασθαι, ὥστε

Ὢ πόποι (φάναι), ἦ φίλον ἄνδρα διωκόμενον περὶ ἄστυ
Ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ.

Καί,

Αἲ αἲ ἐγὼν, ὅτε μοι Σαρπηδόνα φίλτατον ἀνδρῶν
Μοῖρ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι.

Εἰ γὰρ τὰ τοιαῦθ' ἡμῖν οἱ νέοι σπουδῇ ἀκούοιεν, καὶ μὴ καταγελῷεν ὡς ἀναξίως λεγομένων, σχολῇ ἂν

ἑαυτόν γέ τις, αὐτὸν ἄνθρωπον ὄντα, ἀνάξιον ἡγήσαιτο τούτων, καὶ ἐπιπλήξειεν, εἰ καὶ ἐπίοι αὐτῷ τοιοῦτον ἢ λέγειν ἢ ποιεῖν. Ἀλλ', οὐδὲν αἰσχυνόμενος, οὐδὲ καρτερῶν, πολλοὺς ἐπὶ σμικροῖς παθήμασι θρήνους ἂν ᾄδοι καὶ ὀδυρμούς. Δεῖ δέ γε οὐχ, ὡς ἄρτι ἡμῖν ὁ λόγος ἐσήμαινεν, ᾧ πειστέον, ἕως ἄν τις ἡμᾶς ἄλλῳ καλλίονι πείσῃ.

Ἀλλὰ μὴν οὐδὲ φιλογέλωτάς γε δεῖ εἶναι· σχεδὸν γὰρ ὅταν τὶς ἐφίῃ ἰσχυρῷ γέλωτι, ἰσχυρὰν καὶ μεταβολὴν ζητεῖ τὸ τοιοῦτον. Οὔτε ἄρα, ἀνθρώπους ἀξίους λόγου κρατουμένους ὑπὸ γέλωτος ἄν τις ποιῇ, ἀποδεκτέον· πολὺ δὲ ἧττον, ἐὰν θεούς. Οὐκοῦν Ὁμήρου οὐδὲ τὰ τοιαῦτα ἀποδεξόμεθα περὶ θεῶν·

Ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν,
Ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα.

Οὐ γὰρ οὖν δὴ ἀποδεκτέον κατὰ τὸν λόγον, ἀλλὰ μὴν καὶ ἀλήθειάν γε περὶ πολλοῦ ποιητέον· εἰ γὰρ ὀρθῶς ἐλέγομεν ἄρτι, καὶ τῷ ὄντι θεοῖς μὲν ἄχρηστον ψεῦδος, ἀνθρώποις δὲ χρήσιμον ὡς ἐν φαρμάκου εἴδει, δῆλον ὅτι τόγε τοιοῦτον ἰατροῖς δοτέον, ἰδιώταις δὲ οὐχ ἁπτέον. Τοῖς ἄρχουσι δὴ τῆς πόλεως, εἴπερ τισὶν ἄλλοις, προσήκει ψεύδεσθαι ἢ πολεμίων ἢ πολιτῶν ἕνεκα ἐπ' ὠφελείᾳ τῆς πόλεως· τοῖς δὲ ἄλλοις πᾶσιν οὐχ ἁπτέον τοῦ τοιούτου· ἀλλὰ πρός γε δὴ τοὺς τοιούτους ἄρχοντας ἰδιώτῃ ψεύσασθαι ταυτὸν καὶ μεῖζον ἁμάρτημα φήσομεν, ἢ κάμνοντι πρὸς ἰατρὸν, ἢ ἀσκοῦντι πρὸς παιδοτρίβην, περὶ τῶν τοῦ αὐτοῦ σώματος παθημάτων μὴ τἀληθῆ λέγειν, ἢ πρὸς κυβερνήτην περὶ τῆς νεώς τε καὶ τῶν ναυτῶν μὴ τὰ ὄντα λέγοντι, ὅπως ἢ αὐτὸς ἤ τις τῶν ξυνναυτῶν πράξεως ἔχει. Ἂν ἄρ' ἄλλον τινὰ λαμβάνῃ ψευδόμενον ἐν τῇ πόλει,

τῶν, οἳ δημιοεργοὶ ἔασι,
Μάντιν, ἢ ἰητῆρα κακῶν, ἢ τέκτονα δούρων,

κολάσει, ὡς ἐπιτήδευμα εἰσάγοντα πόλεως, ὥσπερ νεὼς, ἀνατρεπτικόν τε καὶ ὀλέθριον.

Τί δέ; σωφροσύνης ἆρα οὐ δεήσει ἡμῖν τοῖς νεανίαις; Σωφροσύνης δὲ ὡς πλήθει οὐ τὰ τοιάδε μέγιστα, ἀρχόντων μὲν ὑπηκόους εἶναι, αὐτοὺς δὲ ἄρχοντας τῶν περὶ πότους καὶ ἀφροδίσια καὶ περὶ ἐδωδὰς ἡδονῶν; Τὰ δὴ τοιάδε φήσομεν, οἶμαι, καλῶς λέγεσθαι, οἷα καὶ παρ' Ὁμήρῳ Διομήδης λέγει·

Τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ.

Καὶ τὰ τούτων ἐχόμενα, τά,

Ἴσαν μένεα πνείοντες Ἀχαιοὶ,
Σιγῇ δειδιότες σημάντορας.

Καὶ ὅσα ἄλλα τοιαῦτα. Τί δέ; τὰ τοιάδε,

Οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο,

καὶ τὰ τούτων ἑξῆς, ἆρα καλῶς, καὶ ὅσα ἄλλα τὶς ἐν λόγῳ ἢ ἐν ποιήσει εἴρηκε νεανιεύματα ἰδιωτῶν εἰς ἄρχοντας; Οὐ γὰρ, οἶμαι, εἴς γε σωφροσύνην νέοις ἐπιτήδεια ἀκούειν· εἰ δέ τινα ἄλλην ἡδονὴν παρέχεται, θαυμαστὸν οὐδέν. Τί δέ; ποιεῖν ἄνδρα τὸν σοφώτατον λέγοντα, ὡς δοκεῖ αὐτῷ κάλλιστον εἶναι πάντων, ὅταν

παραπλεῖαι ὦσι τράπεζαι
Σίτου καὶ κρειῶν, μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
Οἰνοχόος φορέῃσι καὶ ἐγχείῃ δεπάεσσι,

δοκεῖ σοι ἐπιτήδειον εἶναι πρὸς ἐγκράτειαν ἑαυτοῦ ἀκούειν νέῳ; ἢ τό,

Λιμῷ δ' οἴκτιστον θανέειν καὶ πότμον ἐπισπεῖν;

ἢ Δία, καθευδόντων τῶν ἄλλων θεῶν τε καὶ ἀνθρώπων, ὡς μόνος ἐγρηγορὼς ἃ ἐβουλεύσατο, τούτων πάντων ῥᾳδίως ἐπιλανθανόμενον διὰ τὴν τῶν ἀφροδι-

σίων ἐπιθυμίαν, καὶ οὕτως ἐκπλαγέντα, ἰδόντα τὴν Ἥραν, ὥστε μηδ' εἰς τὸ δωμάτιον ἐθέλειν ἐλθεῖν, ἀλλ' αὐτοῦ βουλόμενον χαμαὶ ξυγγίγνεσθαι, καὶ λέγοντα ὡς οὕτως ὑπὸ ἐπιθυμίας ἔχεται, ὡς οὐδ', ὅτε τὸ πρῶτον ἐφοίτων πρὸς ἀλλήλους,

φίλους λήθοντε τοκῆας;

Οὐδ' Ἄρεώς τε καὶ Ἀφροδίτης ὑπὸ Ἡφαίστου δεσμόν, οὐδ' ἕτερα τοιαῦτα. Οὐ, μὰ τὸν Δία, οὔ μοι φαίνεται ἐπιτήδεια.

Ἀλλ' εἴ πού τινες καρτερίαι πρὸς ἅπαντα καὶ λέγονται καὶ πράττονται ὑπὸ ἐλλογίμων ἀνδρῶν, θεατέον τε καὶ ἀκουστέον· οἷον καὶ τό,

Στῆθος δὲ πλήξας, κραδίην ἠνίπαπε μύθῳ·
Τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ' ἔτλης.

Οὐ μὲν δὴ δωροδόκους γε ἐατέον εἶναι τοὺς ἄνδρας, οὐδὲ φιλοχρημάτους. Οὐδ' ᾀστέον αὐτοῖς, ὅτι

Δῶρα θεοὺς πείθει, δῶρ' αἰδοίους βασιλῆας.

Οὐδὲ τὸν τοῦ Ἀχιλλέως παιδαγωγὸν Φοίνικα ἐπαινετέον, ὡς μετρίως ἔλεγε, ξυμβουλεύων αὐτῷ δῶρα μὲν λαβόντι ἐπαμύνειν τοῖς Ἀχαιοῖς, ἄνευ δὲ δώρων μὴ ἀπαλλάττεσθαι τῆς μήνιδος. Οὐδ' αὐτὸν τὸν Ἀχιλλέα ἀξιώσομεν οὐδ' ὁμολογήσομεν οὕτω φιλοχρήματον εἶναι, ὥστε παρὰ τοῦ Ἀγαμέμνονος δῶρα λαβεῖν, καὶ τιμὴν αὖ λαβόντα νεκροῦ ἀπολύειν, ἄλλως δὲ μὴ θέλειν. Ὀκνῶ δέ γε δι' Ὅμηρον λέγειν, ὅτι οὐδ' ὅσιον ταῦτά γε κατὰ Ἀχιλλέως φάναι, καὶ ἄλλων λεγόντων πείθεσθαι, καὶ αὖ ὡς πρὸς τὸν Ἀπόλλω εἶπεν·

Ἔβλαψάς μ', ἑκάεργε, θεῶν ὀλοώτατε πάντων·
Ἦ σ' ἂν τισαίμην, εἴ μοι δύναμίς γε παρείη.

καὶ ὡς πρὸς τὸν ποταμὸν θεὸν ὄντα ἀπειθῶς εἶχε, καὶ μάχεσθαι ἕτοιμος ἦν· καὶ αὖ τὰς τοῦ ἑτέρου ποταμοῦ Σπερχειοῦ ἱερὰς τρίχας, Πατρόκλῳ ἥρωϊ, ἔφη, κόμην ὀπάσαιμι φέρεσθαι, νεκρῷ ὄντι· καὶ ὡς ἔδρασε τοῦτο, οὐ πειστέον· τάς τε αὖ Ἕκτορος ἕλξεις περὶ τὸ σῆμα τὸ Πατρόκλου, καὶ τὰς τῶν ζωγρηθέντων σφαγὰς εἰς τὴν πυρὰν, ξύμπαντα ταῦτα οὐ φήσομεν ἀληθῆ εἰρῆσθαι· οὐδ' ἐάσομεν πείθεσθαι τοὺς ἡμετέρους, ὡς Ἀχιλλεὺς, θεᾶς ὢν παῖς καὶ Πηλέως, σωφρονεστάτου τε καὶ τρίτου ἀπὸ Διὸς, καὶ ὑπὸ τῷ σοφωτάτῳ Χείρωνι τεθραμμένος, τοσαύτης ἦν ταραχῆς πλέως, ὥςτ' ἔχειν ἐν αὑτῷ νοσήματε δύο ἐναντίω ἀλλήλοιν, ἀνελευθερίαν μετὰ φιλοχρηματίας, καὶ αὖ ὑπερηφανίαν θεῶν τε καὶ ἀνθρώπων.

Μὴ τοίνυν μηδὲ τάδε πειθώμεθα, μηδ' ἐῶμεν λέγειν, ὡς Θησεὺς, Ποσειδῶνος υἱὸς, Πειρίθους τε Διὸς, ὥρμησαν οὕτως ἐπὶ δεινὰς ἁρπαγάς· μηδέ τιν' ἄλλου θεοῦ παῖδά τε καὶ ἥρω τολμῆσαι ἂν δεινὰ καὶ ἀσεβῆ ἐργάσασθαι, οἷα νῦν καταψεύδονται αὐτῶν. Ἀλλὰ προσαναγκάζωμεν τοὺς ποιητὰς, ἢ μὴ τούτων αὐτὰ ἔργα φάναι, ἢ τούτους μὴ εἶναι θεῶν παῖδας· ἀμφότερα δὲ μὴ λέγειν, μηδὲ ἡμῖν ἐπιχειρεῖν πείθειν τοὺς νέους, ὡς οἱ θεοὶ κακὰ γεννῶσι, καὶ ἥρωες ἀνθρώπων οὐδὲν βελτίους. Ὅπερ γὰρ ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, οὔθ' ὅσια ταῦτα, οὔτ' ἀληθῆ· ἐπεδείξαμεν γάρ που, ὅτι ἐκ θεῶν κακὰ γίγνεσθαι ἀδύνατον. Καὶ μὴν τοῖς γε ἀκούουσι βλαβερά· πᾶς γὰρ ἑαυτῷ ξυγγνώμην ἕξει κακῷ ὄντι, πεισθεὶς ὡς ἄρα τοιαῦτα πράττουσί τε καὶ ἔπραττον καὶ οἱ θεῶν ἀγχίσποροι, Ζηνὸς ἐγγὺς, ὧν

κατ' Ἰδαῖον πάγον
Διὸς πατρῴου βωμὸς ἔστ' ἐν αἰθέρι,

Καί

Οὔπω σφιν ἐξίτηλον αἷμα δαιμόνων.

Ὧν ἕνεκα παυστέον τοὺς τοιούτους μύθους, μὴ ἡμῖν πολλὴν εὐχέρειαν ἐντίκτωσι τοῖς νέοις πονηρίας.....

Ἄνδρα δὴ, ὡς ἔοικε, δυνάμενον ὑπὸ σοφίας παντοδαπὸν γίγνεσθαι καὶ μιμεῖσθαι πάντα χρήματα, εἰ ἡμῖν ἀφίκοιτο εἰς τὴν πόλιν αὐτός τε καὶ τὰ ποιήματα βουλόμενος ἐπιδείξασθαι, προσκυνοῖμεν ἂν αὐτὸν ὡς ἱερὸν, καὶ θαυμαστὸν, καὶ ἡδύν· εἴποιμεν δ' ἂν, ὅτι οὐκ ἔστι τοιοῦτος ἀνὴρ ἐν τῇ πόλει παρ' ἡμῖν, οὔτε θέμις ἐγγενέσθαι, ἀποπέμποιμέν τε ἂν εἰς ἄλλην πόλιν, μύρον κατὰ τῆς κεφαλῆς καταχέαντες, καὶ ἐρίῳ στέψαντες. Αὐτοὶ δ' ἂν τῷ αὐστηροτέρῳ καὶ ἀηδεστέρῳ ποιητῇ χρῴμεθα καὶ μυθολόγῳ ὠφελείας ἕνεκα, ὃς ἡμῖν τὴν τοῦ ἐπιεικοῦς λέξιν μιμοῖτο, καὶ τὰ λεγόμενα λέγοι ἐν ἐκείνοις τοῖς τύποις, οἷς κατ' ἀρχὰς ἐνομοθετησάμεθα, ὅτε τοὺς στρατιώτας ἐπεχειροῦμεν παιδεύειν.

De Republica, III.

LEX THEATRALIS.

Ἐν ταῖς αὐταῖς ἡδοναῖς δεῖ τὴν αὐτὴν πόλιν καὶ πολίτας διάγοντας, ὁμοίους εἰς δύναμιν ὄντας, ζῆν εὖ τε καὶ εὐδαιμόνως. Τὰ μὲν οὖν τῶν καλῶν σωμάτων καὶ γενναίων ψυχῶν εἰς τὰς χορείας, οἵας εἴρηται δεῖν αὐτὰς εἶναι, διαπεπέρανται· τὰ δὲ τῶν αἰσχρῶν σωμάτων καὶ διανοημάτων, καὶ τῶν ἐπὶ τὰ τοῦ γέλωτος κωμῳδήματα τετραμμένων, κατὰ λέξιν τε καὶ κατὰ ὄρχησιν, καὶ κατὰ τὰ τούτων πάντων μιμήματα κεκωμῳδημένα, ἀνάγκη μὲν θεάσασθαι καὶ γνωρίζειν. Ἄνευ γὰρ γελοίων τὰ σπουδαῖα, καὶ πάντων τῶν

ἐναντίων τὰ ἐναντία, μαθεῖν μὲν οὐ δυνατὸν, εἰ μέλλει τὶς φρόνιμος ἔσεσθαι· ποιεῖν δὲ οὐκ ἂν δυνατὸν ἀμφότερα, εἴ τις αὖ μέλλει καὶ σμικρὸν ἀρετῆς μεθέξειν. Ἀλλὰ αὐτῶν ἕνεκα τούτων καὶ μανθάνειν αὐτὰ δεῖ, τοῦ μήποτε δι' ἄγνοιαν δρᾷν ἢ λέγειν ὅσα γελοῖα, μηδὲν δέον· δούλοις δὲ τὰ τοιαῦτα καὶ ξένοις ἐμμίσθοις προστάττειν μιμεῖσθαι. Σπουδὴν δὲ περὶ αὐτὰ εἶναι μηδέποτε, μηδ' ἥντινοῦν, μηδέ τινα μανθάνοντα αὐτὰ γίγνεσθαι φανερὸν τῶν ἐλευθέρων, μήτε γυναῖκα, μήτε ἄνδρα· καινὸν δὲ ἀεί τι περὶ αὐτὰ φαίνεσθαι τῶν μιμημάτων. Ὅσα μὲν οὖν περὶ γέλωτά ἐστι παίγνια, ἃ δὴ κωμῳδίαν πάντες λέγομεν, οὕτω τῷ λόγῳ καὶ νόμῳ κείσθω.

Τῶν δὲ σπουδαίων, ὥς φασὶ, τῶν περὶ τραγῳδίαν ἡμῖν ποιητῶν, ἐάν ποτε τινὲς αὐτῶν ἡμᾶς ἐλθόντες ἐπανηρωτήσωσιν οὑτωσί πως· Ὦ ξένοι, πότερον φοιτῶμεν ὑμῖν εἰς τὴν πόλιν τε καὶ χώραν, ἢ μή; καὶ τὴν ποίησιν φέρωμέν τε καὶ ἄγωμεν; ἢ πῶς ὑμῖν δέδοκται περὶ τὰ τοιαῦτα δρᾷν; τί οὖν ἂν πρὸς ταῦτα ὀρθῶς ἀποκριναίμεθα τοῖς θείοις ἀνδράσιν; Ἐμοὶ μὲν γὰρ δοκεῖ τάδε, Ὦ ἄριστοι, φάναι, τῶν ξένων, ἡμεῖς ἐσμὲν τραγῳδίας αὐτοὶ ποιηταὶ κατὰ δύναμιν καλλίστης ἅμα καὶ ἀρίστης· πᾶσα οὖν ἡμῖν ἡ πολιτεία ξυνέστηκε μίμησις τοῦ καλλίστου καὶ ἀρίστου βίου· ὃ δὴ φαμὲν ἡμεῖς γε ὄντως εἶναι τραγῳδίας τὴν ἀληθεστάτην. Ποιηταὶ μὲν οὖν ὑμεῖς· ποιηταὶ δὲ καὶ ἡμεῖς ἐσμὲν, τῶν αὐτῶν ὑμῖν ἀντίτεχνοί τε, καὶ ἀνταγωνισταὶ τοῦ καλλίστου δράματος. Ὃ δὴ νόμος ἀληθὴς μόνος ἀποτελεῖν πέφυκεν, ὡς παρ' ἡμῶν ἐστὶν ἐλπίς. Μὴ δὴ δόξητε ἡμᾶς ῥᾳδίως γε οὕτως ὑμᾶς ποτὲ παρ' ἡμῖν ἐάσειν σκηνάς τε πήξαντας κατ' ἀγορὰν, καὶ καλλιφώνους ὑποκριτὰς εἰσαγομένους, μεῖζον φθεγγομένους ἡμῶν, ἐπιτρέψειν ὑμῖν δημηγορεῖν πρὸς παῖδάς τε καὶ γυναῖκας καὶ τὸν πάντα ὄχλον, τῶν αὐτῶν λέγοντας ἐπιτηδευμάτων πέρι μὴ τὰ αὐτὰ ἅπερ

ἡμεῖς, ἀλλ' ὡς τὸ πολὺ καὶ ἐναντία τὰ πλεῖστα. Σχεδὸν γάρ τοι κἂν μαινοίμεθα τελέως ἡμεῖς τε καὶ ἅπασα ἡ πόλις, ἡτισοῦν ὑμῖν ἐπιτρέποι δρᾷν τὰ νῦν λεγόμενα, πρὶν κρῖναι τὰς ἀρχὰς, εἴτε ῥητὰ καὶ ἐπιτήδεια πεποιήκατε λέγειν εἰς τὸ μέσον, εἴτε μή. Νῦν οὖν, ὦ παῖδες μαλακῶν Μουσῶν ἔκγονοι, ἐπιδείξαντες τοῖς ἄρχουσι πρῶτον τὰς ὑμετέρας παρὰ τὰς ἡμετέρας ᾠδὰς, ἂν μὲν τὰ αὐτά γε ἢ καὶ βελτίω τὰ παρ' ὑμῶν φαίνηται λεγόμενα, δώσομεν ὑμῖν χορόν· εἰ δὲ μὴ, ὦ φίλοι, οὐκ ἄν ποτε δυναίμεθα.

Ταῦτ' οὖν ἔστω περὶ πᾶσαν χορείαν, καὶ μάθησιν τούτων πέρι, ξυντεταγμένα νόμοις ἔθη· χωρὶς μὲν, τὰ τῶν δούλων· χωρὶς δὲ, τὰ τῶν δεσποτῶν.

De Legibus, VII.

QUID CAUTUM IN SACRILEGOS, PRODITORES, PARRICIDAS.

Αἰσχρὸν μὲν δή τινα τρόπον καὶ νομοθετεῖν πάντα ὁπόσα νῦν μέλλομεν, τοῦτο δρᾷν ἐν τοιαύτῃ πόλει, ἣν φαμὲν οἰκήσεσθαί τε εὖ, καὶ τεύξεσθαι πάσης ὀρθότητος πρὸς ἐπιτήδευσιν ἀρετῆς. Ἐν δὲ τῇ τοιαύτῃ τὸ καὶ ἀξιοῦν τῆς τῶν ἄλλων μοχθηρίας τῶν μεγίστων ἐμφύεσθαί τινα μεθέξοντα, ὥστε δεῖν νομοθετεῖν προκαταλαμβάνοντα καὶ ἀπειλοῦντα, ἐάν τις τοιοῦτος γίγνηται, καὶ τούτων ἀποτροπῆς τε ἕνεκα καὶ γενομένων κολάσεως, τιθέναι ἐπ' αὐτοῖς νόμους, ὡς ἐσομένοις, ὅπερ εἶπον, αἰσχρὸν μέν τινα τρόπον· ἐπειδὴ δὲ οὐ καθάπερ οἱ παλαιοὶ νομοθέται, θεῶν παισὶ νομοθετούμενοι τοῖς ἥρωσιν, ὡς ὁ νῦν λόγος, αὐτοί τ' ἐκ θεῶν ὄντες,

ἄλλοις τε ἐκ τοιούτων γεγονόσιν ἐνομοθέτουν, ἀλλ' ἄνθρωποί τε καὶ ἀνθρώπων σπέρμασι νομοθετοῦμεν τανῦν· ἀνεμέσητον δὴ φοβεῖσθαι, μή τις ἐγγίγνηται τῶν πολιτῶν ἡμῖν οἷον κερασβόλος, ὃς ἀτεράμων εἰς τοσοῦτον φύσει γίγνοιτ' ἂν ὥςτε μὴ τήκεσθαι, καθάπερ ἐκεῖνα τὰ σπέρματα πυρὶ, νόμοις οὗτοι, καίπερ οὕτως ἰσχυροῖς οὖσιν, ἄτηκτοι γίγνωνται.

I. Ὧν δὴ χάριν, οὐκ ἐπίχαριν λέγοιμ' ἂν πρῶτον νόμον ἱερῶν πέρι συλήσεως, ἄν τις τοῦτο δρᾷν τολμᾷ. Καὶ πολίτην μὲν τῶν τεθραμμένων ὀρθῶς οὔτ' ἂν βουλοίμεθα, οὔτε ἐλπιστὸν πάνυ τι, νοσῆσαί ποτε ἂν ταύτην τὴν νόσον· οἰκέται δὲ ἂν τούτων, καὶ ξένοι, καὶ ξένων δοῦλοι πολλὰ ἂν ἐπιχειρήσειαν τοιαῦτα. Ὧν ἕνεκα μὲν μάλιστα, ὅμως δὲ καὶ ξύμπασαν τὴν τῆς ἀνθρωπίνης φύσεως ἀσθένειαν εὐλαβούμενος, ἐρῶ τὸν τῶν ἱεροσύλων πέρι νόμον, καὶ τῶν ἄλλων πάντων τῶν τοιούτων, ὅσα δυσίατα καὶ ἀνίατα. Προοίμια δὲ τούτοισι, κατὰ τὸν ἔμπροσθεν λόγον ὁμολογηθέντα, προῤῥητέον ἅπασιν ὡς βραχύτατα. Λέγοι δὴ τὶς ἂν, ἐκείνῳ διαλεγόμενος ἅμα καὶ παραμυθούμενος, ὃν ἐπιθυμία κακὴ, παρακαλοῦσα μεθ' ἡμέραν τε καὶ ἐπεγείρουσα νύκτωρ, ἐπὶ τὶ τῶν ἱερῶν ἄγει συλήσοντα, τάδε· Ὦ θαυμάσιε, οὐκ ἀνθρώπινόν σε κακὸν οὐδὲ θεῖον κινεῖ τὸ νῦν ἐπὶ τὴν ἱεροσυλίαν προτρέπον ἰέναι. Οἶστρος δέ ἐστί τις ἐμφυόμενος ἐκ παλαιῶν καὶ ἀκαθάρτων τοῖς ἀνθρώποις ἀδικημάτων, περιφερόμενος ἀλιτηριώδης· ὃν εὐλαβεῖσθαι χρεὼν παντὶ σθένει. Τίς δ' ἐστὶν εὐλάβεια, μάθε. Ὅταν σοὶ προσπίπτῃ τὶ τῶν τοιούτων δογμάτων, ἴθι ἐπὶ τὰς ἀποδιοπομπήσεις, ἴθι ἐπὶ θεῶν ἀποτροπαίων ἱερὰ ἱκέτης, ἴθι ἐπὶ τῶν λεγομένων ἀνδρῶν ὑμῖν ἀγαθῶν ξυνουσίας· καὶ τὰ μὲν ἄκουε, τὰ δὲ πειρῶ λέγειν αὐτὸς, ὡς δεῖ τὰ καλὰ καὶ τὰ δίκαια πάντα ἄνδρα τιμᾷν· τὰς δὲ τῶν κακῶν ξυνουσίας φεῦγε ἀμεταστρεπτί. Καὶ ἐὰν μὲν σοὶ δρῶντι ταῦτα

λωφᾷ τι τὸ νόσημα· εἰ δὲ μὴ, καλλίω θάνατον σκεψάμενος, ἀπαλλάττου τοῦ βίου.

Ταῦτα ἡμῶν ᾀδόντων προοίμια τοῖς πάντα ταῦτα ἐπινοοῦσιν ὅσα ἀνόσια ἔργα καὶ πολιτοφθόρα, τῷ μὲν πειθομένῳ, τὸν νόμον ἐᾷν σιγῇ δεῖ· τῷ δὲ ἀπειθοῦντι, μετὰ τὸ προοίμιον ᾄδειν μέγα·

Ὃς δ' ἂν ἱεροσυλῶν ληφθῇ, ἐὰν μὲν ᾖ δοῦλος ἢ ξένος, ἐν τῷ προσώπῳ καὶ ταῖς χερσὶ γραφεὶς τὴν ξυμφορὰν, καὶ μαστιγωθεὶς ὁπόσας ἂν δόξῃ τοῖς δικασταῖς, ἐκτὸς τῶν ὅρων τῆς χώρας γυμνὸς ἐκβληθήτω. Τάχα γὰρ ἂν δοὺς ταύτην τὴν δίκην, γένοιτ' ἂν βελτίων σωφρονισθείς. Οὐ γὰρ ἐπὶ κακῷ δίκη γίγνεται οὐδεμία γιγνομένη κατὰ νόμον· δυοῖν δὲ θάτερον ἀπεργάζεται σχεδόν· ἢ γὰρ βελτίονα, ἢ μοχθηρότερον ἧττον ἐξειργάσατο τὸν τὴν δίκην παρασχόντα. Πολίτης δὲ ἄν τίς ποτέ τι τοιοῦτον δρῶν ἀναφανῇ, περὶ θεοὺς, ἢ περὶ γονέας, ἢ περὶ πόλιν ἠδικηκὼς τῶν μεγάλων τινὰ καὶ ἀποῤῥήτων ἀδικιῶν, ὡς ἀνίατον ἤδη τοῦτον ὄντα ὁ δικαστὴς διανοείσθω, λογιζόμενος οἵας παιδείας τε καὶ τροφῆς ἐκ παιδὸς τυγχάνων, οὐκ ἀπέσχετο τῶν μεγίστων κακῶν· δίκη δὴ τούτῳ θάνατος, ἐλάχιστον τῶν κακῶν· τοὺς δὲ ἄλλους παράδειγμα ὀνήσει, γενόμενος ἀκλεὴς καὶ ὑπὲρ τοὺς τῆς χώρας ὅρους ἀφανισθείς. Παισὶ δὲ καὶ γένει, ἐὰν φύγωσι τὰ πατρῷα ἤθη, κλέος ἔστω, καὶ λόγος ἔντιμος λεγόμενος, ὡς εὖ τε καὶ ἀνδρείως εἰς ἀγαθὸν ἐκ κακοῦ διαπεφευγότων. Δημόσια δὲ χρήματα οὐδενὸς τῶν τοιούτων τῇ πολιτείᾳ πρέπον ἂν εἴη γίγνεσθαι, ἐν ᾗ δεῖ τοὺς αὐτοὺς ἀεὶ καὶ ἴσους ὄντας διατελεῖν κλήρους.

Ζημίας δ' ἐκτίσεις, ὅταν ἀδικεῖν ἄξια δοκῇ τὶς χρημάτων, ἐκτίνειν, ἂν ᾖ τὶ τῶν τοῦ κλήρου κατεσκευασμένου περιττεῦον, μέχρι τοσούτου ζημιωθέντα· τὸ δὲ πλέον, μή. Τὰς δ' εἰς ταῦτα ἀκριβείας ἐκ τῶν ἀπογραφῶν νομοφύλακες σκοποῦντες, τὸ σαφὲς ἐξαγγελλόντων ἀεὶ τοῖς δικασταῖς, ὅπως ἂν τῶν κλήρων ἀργὸς μηδεὶς μηδέποτε γιγ-

νηται δι' ἀπορίαν χρημάτων. Ζημίας δὲ ἄν τις πλέονος ἄξιος εἶναι δοκῇ, ἐὰν ἄρα μή τινες ἐθέλωσιν αὐτὸν τῶν φίλων ἐγγυᾶσθαί τε καὶ ξυνεκτίνοντες ἀπελευθεροῦν, δεσμοῖς τε χρονίοις καὶ ἐμφανέσι καὶ τισὶ προπηλακισμοῖς κολάζειν. Ἄτιμον δὲ παντάπασι μηδένα εἶναι μηδέποτε μηδ' ἐφ' ἑνὶ τῶν ἁμαρτημάτων, μηδ' ὑπερόριον φυγάδα· θάνατον δὲ, ἢ δεσμοὺς, ἢ πληγὰς, ἤ τινας ἀμόρφους ἕδρας, ἢ στάσεις ἢ παραστάσεις εἰς ἱερὰ ἐπὶ τὰ τῆς χώρας ἔσχατα, ἢ χρημάτων καθάπερ ἔμπροσθεν εἴπομεν ἐκτίσεις γίγνεσθαι δεῖν, τὴν δίκην ταύτην γιγνέσθω. Δικασταὶ δὲ ἔστωσαν θανάτου πέρι νομοφύλακές τε, καὶ τὸ τῶν περυσινῶν ἀρχόντων ἀριστίνδην ἀπομερισθὲν δικαστήριον. Εἰσαγωγὰς δὲ τούτων, καὶ προκλήσεις, καὶ ὅσα τοιαῦτα, καὶ ὡς δεῖ γίγνεσθαι, τοῖς νεωτέροις νομοθέταις χρὴ μέλειν· τὴν διαψήφισιν δὲ ἡμέτερον ἔργον νομοθετεῖν.

Ἔστω δὴ φανερὰ μὲν ἡ ψῆφος τιθεμένη. Πρὸ τούτου δὲ, κατὰ τὸ στόμα τοῦ διώκοντός τε καὶ φεύγοντος, ὁ δικαστὴς ἑξῆς ἡμῖν ἐγγύτατα κατὰ πρέσβυν ἰζέσθω. Πάντες δ' οἱ πολῖται, ὅσοιπερ ἂν ἄγωσι σχολὴν, ἐπήκοοι ἔστωσαν σπουδῇ τῶν τοιούτων δικῶν. Λέγειν δὲ ἕνα λόγον, πρῶτον μὲν, τὸν διώκοντα· τὸν δὲ φεύγοντα, δεύτερον· μετὰ δὲ τοὺς λόγους τούτους, ἄρχεσθαι μὲν τὸν γεραίτατον ἀνακρίναντα, ἰόντα εἰς τὴν τῶν λεχθέντων σκέψιν ἱκανήν. Μετὰ δὲ τὸν πρεσβύτατον, ἑξῆς ἅπαντας δεῖ διεξελθεῖν, ὅ τι ἂν παρ' ἑκατέρου τὶς τῶν ἀντιδίκων ῥηθὲν, ἢ μὴ ῥηθὲν ἐπιποθῇ τινὰ τρόπον· ὁ δὲ μηδὲν ποθῶν, ἄλλῳ τὴν ἀνάκρισιν ἀποδιδότω. Τῶν δὲ ῥηθέντων ἐπισφραγισαμένους ὅσα ἂν εἶναι καίρια δοκῇ, γράμμασι σημεῖα ἐπιβάλλοντες πάντων τῶν δικαστῶν, θεῖναι ἐπὶ τὴν Ἑστίαν. Καὶ πάλιν αὔριον εἰς ταυτὸν ξυνελθόντας, ὡσαύτως τε ἀνακρίνοντας, διεξελθεῖν τὴν δίκην· καὶ σημεῖα ἐπιβάλλοντας αὖ τοῖς λεχθεῖσι, καὶ τρὶς δράσαντας τοῦτο, τεκμήριά τε καὶ μάρτυρας ἱκανῶς παραλαβόντας, ψῆφον ἱερὰν ἕκαστον φέροντα, καὶ ὑποσχόμενον πρὸ τῆς Ἑστίας εἰς δύναμιν τὰ δίκαια

καὶ ἀληθῆ κρίνειν, οὕτω τέλος ἐπιθεῖναι τῇ τοιαύτῃ δίκῃ.

II. Μετὰ δὲ τὰ περὶ θεοὺς, τὰ περὶ κατάλυσιν τῆς πολιτείας. Ὃς ἂν ἄγων εἰς ἀρχὴν ἄνθρωπον, δουλῶται μὲν τοὺς νόμους, ἑταιρείαις δὲ τὴν πόλιν ὑπήκοον ποιῇ, καὶ βιαίως δὴ πᾶν τοῦτο πράττων καὶ στάσιν ἐγείρων παρανομῇ, τοῦτον δὴ διανοεῖσθαι δεῖ πάντων πολεμιώτατον ὅλῃ τῇ πόλει· τὸν δὲ κοινωνοῦντα μὲν τῶν τοιούτων μηδενὶ, τῶν μεγίστων δὲ μετέχοντα ἀρχῶν ἐν τῇ πόλει, λεληθότα τε ταῦτα αὐτὸν, ἢ μὴ λεληθότα, δειλίᾳ δ᾽ ὑπὲρ πατρίδος αὐτοῦ μὴ τιμωρούμενον, δεῖ δεύτερον ἡγεῖσθαι τὸν τοιοῦτον πολίτην κάκῃ. Πᾶς δὲ ἀνὴρ, οὗ καὶ σμικρὸν ὄφελος, ἐνδεικνύτω ταῖς ἀρχαῖς, εἰς κρίσιν ἄγων τὸν ἐπιβουλεύοντα βιαίου πολιτείας καταστάσεως ἅμα καὶ παρανόμου. Δικασταὶ δὲ ἔστωσαν τούτοις, οἵπερ τοῖς ἱεροσύλοις· καὶ πᾶσαν τὴν κρίσιν ὡσαύτως αὐτοῖς γίγνεσθαι καθάπερ ἐκείνοις· τὴν ψῆφον δὲ θάνατον φέρειν τὴν πλήθει νικῶσαν· ἑνὶ δὲ λόγῳ, πατρὸς ὀνείδη καὶ τιμωρίας παίδων μηδενὶ ξυνέπεσθαι, πλὴν ἐάν τινι πατὴρ καὶ πάππος καὶ πάππου πατὴρ ἐφεξῆς ὄφλωσι θανάτου δίκην· τούτους δὲ ἡ πόλις, ἔχοντας τὴν αὐτῶν οὐσίαν, πλὴν ὅσον κατεσκευασμένου τοῦ κλήρου παντελῶς, εἰς τὴν αὐτῶν ἀρχαίαν ἐκπεμπέσθω πατρίδα καὶ πόλιν. Οἷς δ᾽ ἂν τῶν πολιτῶν υἱεῖς ὄντες τυγχάνωσι πλείους ἑνὸς, μὴ ἔλαττον δέκα ἔτη γεγονότες, κληρῶσαι μὲν τούτων δέκα, οὓς ἂν ἀποφήνῃ πατὴρ ἢ πάππος ὁ πρὸς πατρὸς ἢ μητρός· τῶν δὲ λαχόντων τὰ ὀνόματα εἰς Δελφοὺς πεμφθέντων· ὃν δ᾽ ἂν ὁ θεὸς ἀνέλῃ, κληρονόμον εἰς τὸν οἶκον καταστῆσαι τὸν τῶν ἐκλειπόντων, τύχῃ ἀμείνονι.

Κοινὸς δ᾽ ἔτι τρίτος εἷς ἔστω νόμος περὶ δικαστῶν τε οὓς δεῖ δικάζειν αὐτοῖς, καὶ ὁ τρόπος τῶν δικῶν, οἷς ἂν προδόσεως αἰτίαν ἐπιφέρων τὶς εἰς δικαστήριον ἄγῃ· καὶ περὶ μονῆς ὡσαύτως τοῖς ἐκγόνοις καὶ ἐξόδου τῆς πατρίδος εἷς ἔστω περὶ ταῦτα νόμος οὗτος τρισὶ, προδότῃ, καὶ ἱεροσύλῳ, καὶ τῷ τοὺς τῆς πόλεως νόμους βίᾳ ἀπολλύντι....

III. Ἐὰν δὲ δὴ γίγνηται ἐφ' οἷσι καὶ νομοθετεῖν δεινὸν, καὶ οὐδαμῶς προσφιλὲς, μὴ νομοθετεῖν δὲ ἀδύνατον, ξυγγενῶν αὐτόχειρας φόνους, ἢ δι' ἐπιβουλεύσεως γενομένους ἑκουσίους τε καὶ ἀδίκους πάντως, οἳ τὰ μὲν πολλὰ ἐν κακῶς οἰκούσαις καὶ τρεφομέναις γίγνονται πόλεσι· γένοιτο δ' ἄν πού τι ἐν ᾗ μήποτε τὶς ἂν προσδοκήσειε χώρᾳ· λέγειν μὲν δὴ χρεὼν αὖ πάλιν τὸν ἔμπροσθεν σμικρῷ ῥηθέντα λόγον, ἂν ἄρα τὶς, ἀκούων ἡμῶν, οἷος ἀποσχέσθαι γένηται μᾶλλον ἑκὼν διὰ τὰ τοιαῦτα φόνων τῶν πάντη ἀνοσιωτάτων. Ὁ γὰρ δὴ μῦθος, ἢ λόγος, ἢ ὅ τι χρὴ προσαγορεύειν αὐτὸν, ἐκ παλαιῶν ἱερέων εἴρηται σαφῶς· ὡς ἡ τῶν ξυγγενῶν αἱμάτων τιμωρὸς δίκη ἐπίσκοπος νόμῳ χρῆται τῷ νῦν δὴ λεχθέντι· καὶ ἔταξεν ἄρα δράσαντί τι τοιοῦτον, παθεῖν ταυτὰ ἀναγκαίως ἅπερ ἔδρασεν. Εἰ πατέρα ἀπέκτεινέ τίς ποτε, αὐτὸν τοῦτο ὑπὸ τέκνων τολμῆσαι βίᾳ πάσχοντα ἔν τισι χρόνοις· κἂν εἰ μητέρα, γενέσθαι τε αὐτὸν θηλείας μετασχόντα φύσεως ἀναγκαῖον, γενόμενόν τε, ὑπὸ τῶν γεννηθέντων λιπεῖν τὸν βίον ἐν χρόνοις ὑστέροις· τοῦ γὰρ κοινοῦ μιανθέντος αἵματος οὐκ εἶναι κάθαρσιν ἄλλην, οὐδὲ ἔκπλυτον ἐθέλειν γίγνεσθαι τὸ μιανθὲν, πρὶν φόνον φόνῳ ὁμοίῳ ὅμοιον ἡ δράσασα ψυχὴ τίσῃ, καὶ πάσης τῆς ξυγγενείας τὸν θυμὸν ἀφιλασαμένη κοιμήσῃ. Ταῦτα δὴ παρὰ θεῶν μέν τινα φοβούμενον, τὰς τιμωρίας εἴργεσθαι χρὴ τὰς τοιαύτας.

Εἰ δέ τινας οὕτως ἀθλία ξυμφορὰ καταλάβοι, ὥστε πατρὸς, ἢ μητρὸς, ἢ ἀδελφῶν, ἢ τέκνων ἐκ προνοίας ἑκουσίως ψυχὴν τολμῆσαι ἀποστερεῖν σώματος, ὁ παρὰ τοῦ θνητοῦ νομοθέτου νόμος ὧδε περὶ τῶν τοιούτων νομοθετεῖ· Προῤῥήσεις μὲν τὰς περὶ τοῦ τῶν νομίμων εἴργεσθαι, καὶ ἐγγύας τὰς αὐτὰς εἶναι, καθάπερ ἐῤῥήθη τοῖς ἔμπροσθεν· ἐὰν δέ τις ὄφλῃ φόνου τοιούτου, τούτων κτείνας τινὰ, οἱ μὲν τῶν δικαστῶν ὑπηρέται καὶ ἄρχοντες ἀποκτείναντες, εἰς τεταγμένην τρίοδον ἔξω τῆς πόλεως ἐκβαλλόντων γυμνόν· αἱ δὲ ἀρχαὶ πᾶσαι ὑπὲρ ὅλης τῆς πόλεως,

λίθον ἕκαστος φέρων, ἐπὶ τὴν κεφαλὴν τοῦ νεκροῦ βάλλων, ἀφοσιούτω τὴν πόλιν ὅλην· μετὰ δὲ τοῦτο, εἰς τὰ τῆς χώρας ὅρια φέροντες, ἐκβαλλόντων τῷ νόμῳ ἄταφον.

Τὸν δὲ δὴ πάντων οἰκειότατον καὶ λεγόμενον φίλτατον ὃς ἂν ἀποκτείνῃ, τί χρὴ πάσχειν; λέγω δὲ, ὃς ἂν ἑαυτὸν κτείνῃ, τὴν τῆς εἱμαρμένης βίᾳ ἀποστερῶν μοῖραν, μήτε πόλεως ταξάσης δίκην, μήτε περιωδύνῳ ἀφύκτῳ προσπεσούσῃ τύχῃ ἀναγκασθεὶς, μηδὲ αἰσχύνης τινὸς ἀπόρου καὶ ἀβίου μεταλαχὼν, ἀργίᾳ δὲ καὶ ἀνανδρίας δειλίᾳ ἑαυτῷ δίκην ἄδικον ἐπιθῇ. Τούτῳ δὴ τὰ μὲν ἄλλα θεὸς οἶδεν, ἃ χρὴ νόμιμα γίγνεσθαι περὶ καθαρμούς τε καὶ ταφάς. Ὧν ἐξηγητάς τε ἅμα καὶ τοὺς περὶ ταῦτα νόμους ἐπανερομένους, χρὴ τοὺς ἐγγύτατα γένει ποιεῖν αὐτοῖσι κατὰ τὰ προσταττόμενα. Τάφους δ' εἶναι τοῖς οὕτω φθαρεῖσι, πρῶτον μὲν καταμόνας, μηδὲ μεθ' ἑνὸς ξυντάφου· εἶτα, ἐν τοῖς τῶν δώδεκα ὁρίοισι μερῶν τῶν ὅσα ἀργὰ καὶ ἀνώνυμα, θάπτειν ἀκλεεῖς αὐτοὺς, μήτε στήλαις μήτε ὀνόμασι δηλοῦντας τοὺς τάφους.....

Νόμοι δὲ, ὡς ἔοικεν, οἱ μὲν τῶν χρηστῶν ἀνθρώπων ἕνεκα γίγνονται, διδαχῆς χάριν τοῦ τίνα τρόπον ὁμιλοῦντες ἀλλήλοις ἂν φιλοφρόνως οἰκοῖεν· οἱ δὲ, τῶν τὴν παιδείαν διαφυγόντων, ἀτεράμονι χρωμένων τινὶ φύσει, καὶ μηδὲν τεγχθέντων, ὥστε μὴ οὐκ ἐπὶ πᾶσαν ἰέναι κάκην. Οὗτοι τοὺς μέλλοντας λόγους ῥηθήσεσθαι πεποιηκότες ἂν εἶεν· οἷς δὴ τοὺς νόμους ἐξ ἀνάγκης ὁ νομοθέτης ἂν νομοθετοῖ, βουλόμενος αὐτῶν μηδέποτε χρείαν γίγνεσθαι. Πατρὸς γὰρ ἢ μητρὸς ἢ τούτων ἔτι προγόνων ὅστις τολμήσει ἅψασθαί ποτε βιαζόμενος αἰκίᾳ τινὶ, μήτε τῶν ἄνω δείσας θεῶν μῆνιν, μήτε τῶν ὑπὸ γῆς τιμωριῶν λεγομένων, ἀλλὰ, ὡς εἰδὼς ἃ μηδαμῶς οἶδε, καταφρονῶν τῶν παλαιῶν καὶ ὑπὸ πάντων εἰρημένων, παρανομεῖ, τούτῳ δεῖ τινὸς ἀποτροπῆς ἐσχάτης. Θάνατος μὲν οὖν οὐκ ἔστιν ἔσχατον· οἱ δὲ ἐν ᾅδου τούτοισι λεγόμενοι πόνοι ἔτι τε

τούτων εἰσὶ μᾶλλον ἐν ἐσχάτοις, καὶ, ἀληθέστατα λέγοντες, οὐδὲν ἀνύτουσι ταῖς τοιαύταις ψυχαῖς ἀποτροπῆς· οὐ γὰρ ἂν ἐγίγνοντό ποτε μητραλοῖαί τε καὶ τῶν ἄλλων γεννητόρων ἀνόσιοι πληγῶν τόλμαι. Δεῖ δὴ τὰς ἐνθάδε κολάσεις περὶ τὰ τοιαῦτα τούτοισι τὰς ἐν τῷ ζῆν, μηδὲν τῶν ἐν ᾅδου λείπεσθαι κατὰ δύναμιν.

Ἔστω δὴ λεγόμενον τὸ μετὰ τοῦτο τῇδε·

Ὃς ἂν τολμήσῃ πατέρα ἢ μητέρα, ἢ τούτων πατέρας ἢ μητέρας τύπτειν, μὴ μανίαις ἐχόμενος, πρῶτον μὲν ὁ προστυγχάνων, καθάπερ ἐν τοῖς ἔμπροσθεν, βοηθείτω. Καὶ ὁ μὲν μέτοικος ἢ ξένος εἰς προεδρίαν τῶν ἀγώνων καλείσθω βοηθῶν· μὴ βοηθήσας δὲ, ἀειφυγίαν ἐκ τῆς χώρας φευγέτω. Ὁ δὲ μὴ μέτοικος, βοηθῶν μὲν, ἔπαινον ἐχέτω· μὴ βοηθῶν δὲ, ψόγον. Δοῦλος δὲ, βοηθήσας μὲν, ἐλεύθερος γιγνέσθω· μὴ βοηθήσας δὲ, πληγὰς ἑκατὸν τῇ μάστιγι τυπτέσθω· ἐν ἀγορᾷ μὲν ἂν γίγνηται τὸ γιγνόμενον, ὑπ' ἀγορανόμων· ἐὰν δ' ἐκτὸς ἀγορᾶς ἐν ἄστει, τῶν ἀστυνόμων κολάζειν τὸν ἐπιδημοῦντα· ἐὰν δὲ κατ' ἀγροὺς τῆς χώρας που, τοὺς τῶν ἀγρονόμων ἄρχοντας. Ἐὰν δ' ἐπιχώριος ὁ παρατυγχάνων ᾖ τις, ἐάν τε παῖς, ἐάν τε ἀνὴρ, ἐάν τ' οὖν γυνὴ, ἀμυνέτω πᾶς, τὸν ἀνόσιον ἐπονομάζων· ὁ δὲ μὴ ἀμύνων, ἀρᾷ ἐνεχέσθω Διὸς ὁμογνίου καὶ πατρῴου κατὰ νόμον. Ἐὰν δέ τις ὄφλῃ δίκην αἰκίας γονέων, πρῶτον μὲν φευγέτω ἀειφυγίαν ἐξ ἄστεος εἰς τὴν ἄλλην χώραν, καὶ πάντων ἱερῶν εἰργέσθω· μὴ δὲ εἰργόμενον, κολαζόντων αὐτὸν ἀγρονόμοι πληγαῖς, καὶ πάντως ὡς ἂν ἐθέλωσι· κατελθὼν δὲ, θανάτῳ ζημιούσθω. Ἐὰν δέ τις τῷ τοιούτῳ, ὅσοι ἐλεύθεροι, ξυμφάγῃ ἢ ξυμπίῃ ἤ τινα τοιαύτην ἄλλην κοινωνίαν κοινωνήσῃ, ἢ καὶ μόνον ἐντυγχάνων που προσάπτηται ἑκὼν, μήτε εἰς ἱερὸν ἔλθῃ μηδὲν, μήτ' εἰς ἀγορὰν, μήτ' εἰς πόλιν ὅλως, πρότερον ἢ καθήρηται, νομίζων κεκοινωνηκέναι ἀλιτηριώδους τύχης· ἐὰν δὲ, ἀπειθῶν νόμῳ, ἱερὰ καὶ πόλιν μιαίνῃ παρανόμως, ὃς ἂν τῶν ἀρχόν-

των αἰσθόμενος μὴ ἐπάγῃ δίκην τῷ τοιούτῳ, ἐν εὐθύναις ἔστω τῶν κατηγορημάτων τῶν μεγίστων ἐν τούτῳ αὐτῷ.

De Legibus, ix.

PERNICIES OCCULTA CIVITATUM.

Ἢ ΤΌΔΕ μὲν ἁπλοῦν, ὅτι πᾶσα πολιτεία μεταβάλλει ἐξ αὐτοῦ τοῦ ἔχοντος τὰς ἀρχάς, ὅταν ἐν αὐτῷ τούτῳ στάσις ἐγγένηται· ὁμονοοῦντος δὲ, κἂν πάνυ ὀλίγον ᾖ, ἀδύνατον κινηθῆναι; Πῶς οὖν δὴ ἡ πόλις ἡμῖν κινηθήσεται, καὶ πῇ στασιάσουσιν οἱ ἐπίκουροι καὶ οἱ ἄρχοντες πρὸς ἀλλήλους τε καὶ πρὸς ἑαυτούς; Ἢ βούλει, ὥσπερ Ὅμηρος, εὐχώμεθα ταῖς Μούσαις εἰπεῖν ἡμῖν, ὅπως δὴ πρῶτον στάσις ἔμπεσε, καὶ φῶμεν αὐτὰς τραγικῶς, ὡς πρὸς παῖδας ἡμᾶς παιζούσας καὶ ἐρεσχελούσας, ὡς δὴ σπουδῇ λεγούσας, ὑψηλολογουμένας λέγειν; Πῶς; Ὧδέ πως.

Χαλεπὸν μὲν κινηθῆναι πόλιν οὕτω ξυστᾶσαν· ἀλλ᾽, ἐπεὶ γενομένῳ παντὶ φθορά ἐστιν, οὐδ᾽ ἡ τοιαύτη ξύστασις τὸν ἅπαντα μενεῖ χρόνον, ἀλλὰ λυθήσεται. Λύσις δὲ ἥδε.

Οὐ μόνον φυτοῖς ἐγγείοις, ἀλλὰ καὶ ἐν ἐπιγείοις ζώοις, φορὰ καὶ ἀφορία ψυχῆς τε καὶ σωμάτων γίγνεται, ὅταν περιτροπαὶ ἑκάστοις κύκλων περιφορὰς ξυνάπτωσι βραχυβίοις μὲν βραχυπόρους, ἐναντίοις δὲ ἐναντίας. Γένους δὲ ὑμετέρου εὐγονίας τε καὶ ἀφορίας, καίπερ ὄντες σοφοὶ, οὓς ἡγεμόνας πόλεων ἐπαιδεύσασθε, οὐδὲν μᾶλλον λογισμῷ μετ᾽ αἰσθήσεως τεύξονται· ἀλλὰ πάρεισιν αὐτοὺς, καὶ γεννήσουσι παῖδάς ποτε, οὐ δέον.

Ἔστι δὲ θείῳ μὲν γεννητῷ περίοδος, ἣν ἀριθμὸς περιλαμβάνει τέλειος· ἀνθρωπείῳ δὲ, ἐν ᾧ πρώτῳ αὐξήσεις δυνάμεναί τε, καὶ δυναστευόμεναι τρεῖς ἀποκαταστάσεις· τέτταρας δὲ ὅρους λαβοῦσαι ὁμοιούντων τε καὶ ἀνομοιούντων, καὶ αὐξόντων καὶ φθινόντων, πάντα προσήγορα καὶ ῥητὰ πρὸς ἄλληλα ἀπέφηναν. Ὧν ἐπίτριτος πυθμὴν, πεμπάδι ξυζυγεὶς, δύο ἁρμονίας παρέχηται τρὶς αὐξηθείς· τὴν μὲν ἴσην ἰσάκις, ἑκατὸν τοσαυτάκις· τὴν δὲ ἰσομήκη μὲν, τῇ προμήκει δὲ, ἑκατὸν μὲν ἀριθμῶν ἀπὸ διαμέτρων ῥητῶν πεμπάδων δεομένων ἑνὸς ἑκάστων, ἀῤῥήτων δὲ δυοῖν· ἑκατὸν δὲ κύβων τριάδος. Ξύμπας δὲ οὗτος ἀριθμὸς γεωμετρικὸς, τοιούτου κύριος, ἀμεινόνων τε καὶ χειρόνων γενέσεων.

Ἃς ὅταν ἀγνοήσαντες ὑμῖν οἱ φύλακες ξυνοικίζωσιν νύμφας νυμφίοις παρὰ καιρὸν, οὐκ εὐφυεῖς οὐδ' εὐτυχεῖς παῖδες ἔσονται. Ὧν καταστήσονται μὲν τοὺς ἀρίστους οἱ πρότεροι· ὅμως δὲ ὄντες ἀνάξιοι, εἰς τὰς τῶν πατέρων αὖ δυνάμεις ἐλθόντες, ἡμῶν πρῶτον ἄρξονται ἀμελεῖν, φύλακες ὄντες, παρ' ἔλαττον τοῦ δέοντος ἡγησάμενοι τὰ μουσικῆς, δεύτερον δὲ τὰ γυμναστικῆς· ὅθεν ἀμουσότεροι γενήσονται ὑμῖν οἱ νέοι. Ἐκ δὲ τούτων ἄρχοντες οὐ πάνυ φυλακικοὶ καταστήσονται πρὸς τὸ δοκιμάζειν τὰ Ἡσιόδου τε καὶ τὰ παρ' ἡμῖν γένη, χρυσοῦν τε, καὶ ἀργυροῦν, καὶ χαλκοῦν, καὶ σιδηροῦν. Ὁμοῦ δὲ μιγέντος σιδήρου ἀργύρῳ, καὶ χαλκοῦ χρυσῷ, ἀνομοιότης ἐγγενήσεται καὶ ἀνωμαλία ἀνάρμοστος· ἃ γενόμενα, οὗ ἂν ἐγγένηται, ἀεὶ ἐντίκτει πόλεμον καὶ ἔχθραν.

Τί οὖν τὸ μετὰ τοῦτο; Στασέως γενομένης, εἱλκέτην ἄρα ἑκατέρω τὼ γένη, τὸ μὲν σιδηροῦν καὶ χαλκοῦν, ἐπὶ χρηματισμὸν καὶ γῆς κτῆσιν καὶ οἰκίας, χρυσίου τε καὶ ἀργύρου· τὸ δ' αὖ χρυσοῦν τε καὶ ἀργυροῦν, ἅτε οὐ πενομένω, ἀλλὰ φύσει ὄντε

πλουσίῳ, τὰς ψυχὰς ἐπὶ τὴν ἀρετὴν καὶ τὴν ἀρχαίαν κατάστασιν ἡγέτην. Βιαζομένων δὲ καὶ ἀντιτεινόντων ἀλλήλοις, εἰς μέσον ὡμολόγησαν γῆν μὲν καὶ οἰκίας καταneιμαμένους ἰδιώσασθαι· τοὺς δὲ πρὶν φυλαττομένους ὑπ᾽ αὐτῶν, ὡς ἐλευθέρους, φίλους τε καὶ τροφέας, δουλωσάμενοι τότε, περιοίκους τε καὶ οἰκέτας ἔχοντες, αὐτοὶ πολέμου τε καὶ φυλακῆς αὐτῶν ἐπιμελεῖσθαι.

De Republica, VIII.

ATLANTIS.

"Ακουε δὴ, ὦ Σώκρατες, λόγου μάλα μὲν ἀποτόμου, παντάπασί γε μὴν ἀληθοῦς, ὡς δὴ τῶν ἑπτὰ σοφῶν σοφώτατος Σόλων ποτ᾽ ἔφη. Ἦν μὲν οὖν οἰκεῖος καὶ σφόδρα φίλος ἡμῖν Δρωπίδου τοῦ προπάππου, καθάπερ λέγει πολλαχοῦ καὶ αὐτὸς ἐν τῇ ποιήσει· πρὸς δὲ Κριτίαν τὸν ἡμέτερον πάππον εἶπεν, ὡς ἀπεμνημόνευεν αὖ πρὸς ἡμᾶς ὁ γέρων, ὅτι μεγάλα καὶ θαυμαστὰ τῆσδ᾽ εἴη παλαιὰ ἔργα τῆς πόλεως, ὑπὸ χρόνου καὶ φθορᾶς ἀνθρώπων ἠφανισμένα· πάντων δὲ ἓν μέγιστον, οὗ νῦν ἐπιμνησθεῖσι πρέπον ἂν ἡμῖν εἴη, σοί τε ἀποδοῦναι χάριν, καὶ τὴν θεὸν ἅμα ἐν τῇ πανηγύρει δικαίως καὶ ἀληθῶς οἷόνπερ ὑμνοῦντας ἐγκωμιάζειν.

Ἐγὼ φράσω παλαιὸν ἀκηκοὼς λόγον οὐ νέου ἀνδρός· ἦν μὲν γὰρ δὴ τότε Κριτίας, ὡς ἔφη, σχεδὸν ἐγγὺς ἤδη τῶν ἐννενήκοντα ἐτῶν, ἐγὼ δέ πῃ μάλιστα δεκέτης. Ἡ δὲ Κουρεῶτις ἡμῖν οὖσα ἐτύγχανεν Ἀπατουρίων· τὸ δὲ τῆς ἑορτῆς ξύνηθες ἑκάστοτε, καὶ τότε ξυνέβη τοῖς παισίν. Ἆθλα γὰρ ἡμῖν οἱ πατέρες ἔθεσαν ῥαψῳδίας. Πολλῶν

μὲν οὖν δὴ καὶ πολλὰ ἐλέχθη ποιητῶν ποιήματα· ἅτε δὲ νέα κατ᾽ ἐκεῖνον τὸν χρόνον ὄντα τὰ Σόλωνος, πολλοὶ τῶν παίδων ᾔσαμεν. Εἶπεν οὖν τὶς τῶν φρατόρων, εἴτε δὴ δοκοῦν αὐτῷ τότε, εἴτε καὶ χάριν τινὰ τῷ Κριτίᾳ φέρων, δοκεῖν οἱ τά τε ἄλλα σοφώτατον γεγονέναι Σόλωνα, καὶ κατὰ τὴν ποίησιν αὖ, τῶν ποιητῶν πάντων ἐλευθεριώτατον. Ὁ δὲ γέρων, σφόδρα γὰρ οὖν μέμνημαι, μάλα τε ἥσθη καὶ διαμειδιάσας εἶπεν· Εἴ γε, ὦ Ἀμύνανδρε, μὴ παρέργῳ τῇ ποιήσει κατεχρήσατο, ἀλλ᾽ ἐσπουδάκει καθάπερ ἄλλοι, τόν τε λόγον, ὃν ἀπ᾽ Αἰγύπτου δεῦρο ἠνέγκατο, ἀπετέλεσε, καὶ μὴ διὰ τὰς στάσεις, ὑπὸ κακῶν τε ἄλλων ὅσα εὗρεν ἐνθάδε ἥκων, ἠναγκάσθη καταμελῆσαι, κατά τὴν ἐμὴν δόξαν, οὔτε Ἡσίοδος, οὔτε Ὅμηρος, οὔτε ἄλλος οὐδεὶς τῶν ποιητῶν, εὐδοκιμώτερος ἐγένετο ἄν ποτε αὐτοῦ. Τίς δ᾽ οὖν ὁ λόγος, ἦ δ᾽ ὅς, ὦ Κριτία; Περὶ μεγίστης, ἔφη, καὶ ὀνομαστοτάτης πασῶν δικαιότατ᾽ ἂν πράξεως οὔσης, ὧν ἥδε ἡ πόλις ἔπραξε μὲν, διὰ δὲ χρόνον καὶ φθορὰν τῶν ἐργασαμένων οὐ διήρκεσε δεῦρο ὁ λόγος. Λέγε ἐξ ἀρχῆς, ἦ δ᾽ ὅς, τί τε, καὶ πῶς, καὶ περὶ τίνων ὡς ἀληθῆ διακηκοὼς ἔλεγεν ὁ Σόλων.

Ἔστι τις κατ᾽ Αἴγυπτον, ἦ δ᾽ ὅς, ἐν τῷ Δέλτα, περὶ ὃ κατὰ κορυφὴν σχίζεται τὸ τοῦ Νείλου ῥεῦμα, Σαϊτικὸς ἐπικαλούμενος νομός· τούτου δὲ τοῦ νομοῦ μεγίστη πόλις Σάϊς· ὅθεν δὴ καὶ Ἄμασις ἦν ὁ βασιλεύς. Οἷ τῆς πόλεως θεὸς ἀρχηγός ἐστιν, Αἰγυπτιστὶ μὲν τοὔνομα Νηΐθ, Ἑλληνιστὶ δὲ, ὡς ὁ ἐκείνων λόγος, Ἀθηνᾶ. Μάλα δὲ φιλαθήναιοι καὶ τινὰ τρόπον οἰκεῖοι τῶνδ᾽ εἶναι φασίν. Οἷ δὴ Σόλων ἔφη πορευθεὶς σφόδρα τε γενέσθαι παρ᾽ αὐτοῖς ἔντιμος· καὶ δὴ καὶ τὰ παλαιὰ ἀνερωτῶν τοὺς μάλιστα περὶ ταῦτα τῶν ἱερέων ἐμπείρους, σχεδὸν οὔτε αὐτὸν, οὔτε ἄλλον Ἕλληνα οὐδένα οὐδὲν, ὡς ἔπος εἰπεῖν, εἰδότα περὶ τῶν τοιούτων ἀνευρεῖν. Καί ποτε προαγαγεῖν βουληθεὶς αὐτοὺς περὶ τῶν ἀρχαίων εἰς λόγους, τῶν τῇδε τὰ ἀρχαιότατα λέγειν ἐπιχειρεῖν, περὶ Φορωνέως τε τοῦ πρώτου

λεχθέντος, καὶ Νιόβης, καὶ μετὰ τὸν κατακλυσμὸν αὖ περὶ Δευκαλίωνος καὶ Πύῤῥας, ὡς διεγένοντο, μυθολογεῖν, καὶ τοὺς ἐξ αὐτῶν γενεαλογεῖν, καὶ τὰ τῶν ἐτῶν ὅσα ἦν οἷς ἔλεγε πειρᾶσθαι διαμνημονεύων τοὺς χρόνους ἀριθμεῖν. Καί τινα εἰπεῖν τῶν ἱερέων εὖ μάλα παλαιῶν.

Ὦ Σόλων, Σόλων, Ἕλληνες ἀεὶ παῖδές ἐστε, γέρων δὲ Ἕλλην οὐκ ἔστιν. Ἀκούσας οὖν, Πῶς τι τοῦτο λέγεις; φάναι. Νέοι ἐστὲ, εἰπεῖν, τὰς ψυχὰς πάντες· οὐδεμίαν γὰρ ἐν αὐταῖς ἔχετε, δι' ἀρχαίαν ἀκοὴν, παλαιὰν δόξαν, οὐδὲ μάθημα χρόνῳ πολιὸν οὐδέν. Τὸ δὲ τούτων αἴτιον τόδε· πολλαὶ καὶ κατὰ πολλὰ φθοραὶ γεγόνασιν ἀνθρώπων, καὶ ἔσονται, πυρὶ μὲν καὶ ὕδατι μέγισται, μυρίοις δὲ ἄλλοις ἕτεραι βραχύτεραι. Τὸ γὰρ οὖν καὶ παρ' ὑμῖν λεγόμενον, ὥς ποτε Φαέθων, Ἡλίου παῖς, τὸ τοῦ πατρὸς ἅρμα ζεύξας, διὰ τὸ μὴ δυνατὸς εἶναι κατὰ τὴν τοῦ πατρὸς ὁδὸν ἐλαύνειν, τά τ' ἐπὶ γῆς ξυνέκαυσε, καὶ αὐτὸς κεραυνωθεὶς διεφθάρη, τοῦτο μύθου μὲν σχῆμα ἔχον λέγεται· τὸ δ' ἀληθές ἐστι, τῶν περὶ γῆν καὶ κατ' οὐρανὸν ἰόντων παράλλαξις, καὶ διὰ μακρῶν χρόνων γιγνομένη τῶν ἐπὶ γῆς πυρὶ πολλῷ φθορά. Τότε οὖν, ὅσοι κατ' ὄρη καὶ ἐν ὑψηλοῖς τόποις καὶ ἐν ξηροῖς οἰκοῦσι, μᾶλλον διόλλυνται τῶν ποταμοῖς καὶ θαλάττῃ προσοικούντων. Ἡμῖν δὲ ὁ Νεῖλος εἴς τε τἄλλα σωτὴρ, καὶ τότε ἐκ ταύτης τῆς ἀπορίας σώζει λυόμενος. Ὅταν δ' αὖ οἱ θεοὶ τὴν γῆν ὕδασι καθαίροντες κατακλύζωσιν, οἱ μὲν ἐν τοῖς ὄρεσι διασώζονται, βουκόλοι, νομεῖς τε· οἱ δ' ἐν ταῖς παρ' ὑμῖν πόλεσιν εἰς τὴν θάλατταν ὑπὸ τῶν ποταμῶν φέρονται· κατὰ δὲ τήνδε τὴν χώραν, οὔτε τότε, οὔτε ἄλλοτε ἄνωθεν ἐπὶ τὰς ἀρούρας ὕδωρ ἐπιῤῥεῖ, τὸ δ' ἐναντίον, κάτωθεν ἐπανιέναι πέφυκεν. Ὅθεν καὶ δι' ἃς αἰτίας τἀνθάδε σωζόμενα λέγεται παλαιότατα. Τὸ δ' ἀληθὲς, ἐν πᾶσι τοῖς τόποις, ὅπου μὴ χειμὼν ἐξαίσιος ἢ καῦμα ἀπείργει, τοτὲ μὲν πλέον, τοτὲ δ' ἔλαττον, ἀεὶ γένος ἐστὶν ἀνθρώπων· ὅσα δὲ ἢ παρ' ὑμῖν, ἢ τῇδε, ἢ καὶ κατ' ἄλλον τόπον ὧν ἀκοῇ

ἴσμεν, εἴ πού τι καλὸν ἢ μέγα γέγονεν, ἢ καί τινα διαφορὰν ἄλλην ἔχον, πάντα γεγραμμένα ἐκ παλαιοῦ τῇδ' ἐστὶν ἐν τοῖς ἱεροῖς καὶ σεσωσμένα. Τὰ δὲ παρ' ὑμῖν καὶ τοῖς ἄλλοις ἄρτι κατεσκευασμένα ἑκάστοτε τυγχάνει γράμμασι καὶ ἅπασιν ὁπόσων πόλεις δέονται· καὶ πάλιν, δι' εἰωθότων ἐτῶν, ὥσπερ νόσημα ἥκει φερόμενον αὐτοῖς ῥεῦμα οὐράνιον, καὶ τοὺς ἀγραμμάτους τε καὶ ἀμούσους ἔλιπεν ὑμῶν. Ὥστε πάλιν νέοι ἐξ ἀρχῆς γίγνεσθε, οὐδὲν εἰδότες οὔτε τῶν τῇδε, οὔτε τῶν παρ' ὑμῖν, ὅσα ἦν ἐν τοῖς παλαιοῖς χρόνοις. Τὰ γοῦν νῦν δὴ γενεαλογηθέντα, ὦ Σόλων, περὶ τῶν παρ' ὑμῖν ἃ διῆλθες, παίδων βραχύ τι διαφέρει μύθων. Οἳ, πρῶτον μὲν, ἕνα γῆς κατακλυσμὸν μέμνησθε, πολλῶν ἔμπροσθεν γεγονότων· ἔτι δὲ, τὸ κάλλιστον καὶ ἄριστον γένος ἐπ' ἀνθρώπους ἐν τῇ χώρᾳ τῇ παρ' ὑμῖν οὐκ ἴστε γεγονὸς, ἐξ ὧν σύ τε καὶ πᾶσα ἡ πόλις ἐστὶ τανῦν ὑμῶν, περιλειφθέντος ποτὲ σπέρματος βραχέος. Ἀλλ' ὑμᾶς λέληθε, διὰ τὸ τοὺς περιγενομένους ἐπὶ πολλὰς γενεὰς γράμμασι τελευτᾷν ἀφώνους. Ἦν γὰρ δήποτε, ὦ Σόλων, ὑπὲρ τὴν μεγίστην φθορὰν ὕδασιν, ἡ νῦν Ἀθηναίων οὖσα πόλις ἀρίστη, πρός τε πόλεμον καὶ κατὰ πάντα εὐνομωτάτη διαφερόντως· ᾗ κάλλιστα ἔργα καὶ πολιτεῖαι γενέσθαι κάλλισται λέγονται πασῶν, ὁπόσων νῦν ὑπὸ τὸν οὐρανὸν ἡμεῖς ἀκοὴν παρεδεξάμεθα.

Ἀκούσας οὖν ὁ Σόλων ἔφη θαυμάσαι, καὶ πᾶσαν προθυμίαν σχεῖν, δεόμενος τῶν ἱερέων πάντα δι' ἀκριβείας οἱ τὰ περὶ τῶν πάλαι πολιτῶν ἑξῆς διελθεῖν.

Τὸν οὖν ἱερέα φάναι· Φθόνος οὐδεὶς, ὦ Σόλων· ἀλλὰ σοῦ τε ἕνεκα ἐρῶ καὶ τῆς πόλεως ὑμῶν, μάλιστα δὲ καὶ τῆς θεοῦ χάριν, ἣ τήν τε ὑμετέραν καὶ τήνδ' ἔλαχε καὶ ἔθρεψε καὶ ἐπαίδευσε. Προτέραν μὲν τὴν παρ' ὑμῖν ἔτεσι χιλίοις, ἐκ γῆς τε καὶ Ἡφαίστου τὸ σπέρμα παραλαβοῦσα ὑμῶν· τήνδε δὲ, ὑστέραν· τῆς δὲ ἐνθάδε διακοσμήσεως παρ' ἡμῖν ἐν τοῖς ἱεροῖς γράμμασιν ὀκτακισχιλίων ἐτῶν ἀριθμὸς γέγραπται. Περὶ

δὲ τῶν ἐννακισχίλια ἔτη γεγονότων πολιτῶν σοὶ, δηλώσω διὰ βραχέων νόμους τε καὶ τῶν ἔργων αὐτοῖς ὃ κάλλιστον ἐπράχθη. Τὸ δ' ἀκριβὲς περὶ πάντων ἐφεξῆς εἰσαῦθις κατὰ σχολὴν, αὐτὰ τὰ γράμματα λαβόντες, διέξιμεν.

Τοὺς μὲν οὖν νόμους σκόπει πρὸς τοὺς τῇδε· πολλὰ γὰρ παραδείγματα τῶν τότε παρ' ὑμῖν ὄντων ἐνθάδε νῦν ἀνευρήσεις. Πρῶτον μὲν, τὸ τῶν ἱερέων γένος ἀπὸ τῶν ἄλλων χωρὶς ἀφωρισμένον· μετὰ δὲ τοῦτο, τὸ τῶν δημιουργῶν, ὅτι καθ' αὐτὸ ἕκαστον, ἄλλῳ δὲ οὐκ ἐπιμιγνύμενον δημιουργεῖ· τό τε τῶν νομέων καὶ τῶν θηρευτῶν, τό τε τῶν γεωργῶν· καὶ δὴ τὸ μάχιμον γένος ᾔσθησαί που τῇδε ἀπὸ πάντων τῶν γενῶν κεχωρισμένον, οἷς οὐδὲν ἄλλο πλὴν τὰ περὶ τὸν πόλεμον ὑπὸ τοῦ νόμου προσετάχθη μέλειν. Ἔτι δὲ, ἡ τῆς ὁπλίσεως αὐτῶν σχέσις ἀσπίδων καὶ δοράτων, οἷς ἡμεῖς πρῶτοι τῶν περὶ τὴν Ἀσίαν ὡπλίσμεθα, τῆς θεοῦ, καθάτερ ἐν ἐκείνοις τοῖς τόποις, παρ' ὑμῖν πρώτοις ἐνδειξαμένης. Τὸ δ' αὖ περὶ τῆς φρονήσεως, ὁρᾷς που τὸν νόμον τῇδε, ὅσην ἐπιμέλειαν ἐποιήσατο εὐθὺς κατ' ἀρχὰς περί τε τὸν κόσμον ἅπαντα, μέχρι μαντικῆς καὶ ἰατρικῆς πρὸς ὑγίειαν, ἐκ τούτων θείων ὄντων εἰς τὰ ἀνθρώπινα ἐξανευρὼν, ὅσα τε ἄλλα τούτοις ἕπεται μαθήματα, πάντα κτησάμενος· ταύτην οὖν δὴ τότε ξύμπασαν τὴν διακόσμησιν καὶ ξύνταξιν ἡ θεὸς προτέρους ὑμᾶς διακοσμήσασα κατῴκισεν, ἐκλεξαμένη τὸν τόπον ἐν ᾧ γεγένησθε, τὴν εὐκρασίαν τῶν ὡρῶν ἐν αὐτῷ κατιδοῦσα, ὅτι φρονιμωτάτους ἄνδρας οἴσει· ἅτ' οὖν φιλοπόλεμός τε καὶ φιλόσοφος ἡ θεὸς οὖσα, τὸν προσφερεστάτους αὐτῇ μέλλοντα οἴσειν τόπον ἄνδρας, τοῦτον ἐκλεξαμένη τὸ πρῶτον κατῴκισεν. Ὠκεῖτε οὖν δὴ νόμοις τε τοιούτοις χρώμενοι καὶ ἔτι μᾶλλον εὐνομούμενοι, πάσῃ τε πάντας ἀνθρώπους ὑπερβεβηκότες ἀρετῇ, καθάπερ εἰκὸς γεννήματα καὶ παιδεύματα θεῶν ὄντας.

Πολλὰ μὲν οὖν ὑμῶν καὶ μεγάλα τῆς πόλεως τῇδε γε-

γραμμένα ἔργα θαυμάζεται· πάντων μὴν ἓν ὑπερέχει μεγέθει καὶ ἀρετῇ. Λέγει γὰρ τὰ γεγραμμένα, ὅσην ἡ πόλις ὑμῶν ἔπαυσέ ποτε δύναμιν ὕβρει πορευομένην ἅμα ἐπὶ πᾶσαν Εὐρώπην καὶ Ἀσίαν, ἔξωθεν ὁρμηθεῖσαν ἐκ τοῦ Ἀτλαντικοῦ πελάγους· τότε γὰρ πορεύσιμον ἦν τὸ ἐκεῖ πέλαγος. Νῆσον γὰρ πρὸ τοῦ στόματος εἶχεν, ὃ καλεῖτε, ὥς φατε ὑμεῖς, Ἡρακλέους στήλας· ἡ δὲ νῆσος ἅμα Λιβύης ἦν καὶ Ἀσίας μείζων, ἐξ ἧς ἐπιβατὸν ἐπὶ τὰς ἄλλας νήσους τοῖς τότ' ἐγίγνετο πορευομένοις· ἐκ δὲ τῶν νήσων, ἐπὶ τὴν κατ' ἀντικρὺ πᾶσαν ἤπειρον τὴν περὶ τὸν ἀληθινὸν ἐκεῖνον πόντον. Τάδε μὲν γὰρ, ὅσα ἐντὸς τοῦ στόματος οὗ λέγομεν, φαίνεται λιμὴν στενόν τινα εἴσπλουν ἔχων· ἐκεῖνο δὲ πέλαγος ὄντως, ἥ τε περιέχουσα αὐτὸ γῆ παντελῶς ἀληθῶς, ὀρθότατ' ἂν λέγοιτο ἤπειρος. Ἐν δὲ τῇ Ἀτλαντίδι ταύτῃ νήσῳ μεγάλη ξυνέστη καὶ θαυμαστὴ δύναμις βασιλέων, κρατοῦσα μὲν ἁπάσης τῆς νήσου, πολλῶν δὲ ἄλλων νήσων καὶ μερῶν τῆς ἠπείρου· πρὸς δὲ τούτοις, ἔτι τῶν ἐντὸς τῇδε Λιβύης μὲν ἦρχον ἄχρι πρὸς Αἴγυπτον, τῆς δὲ Εὐρώπης, μέχρι Τυῤῥηνίας. Αὕτη δὲ πᾶσα ξυναθροισθεῖσα εἰς ἓν ἡ δύναμις τόν τε παρ' ὑμῖν, καὶ τὸν παρ' ἡμῖν, καὶ τὸν ἐντὸς τοῦ στόματος πάντα τόπον μιᾷ ποτ' ἐπεχείρησεν ὁρμῇ δουλοῦσθαι. Τότε οὖν ὑμῶν, ὦ Σόλων, τῆς πόλεως ἡ δύναμις εἰς ἅπαντας ἀνθρώπους διαφανὴς ἀρετῇ τε καὶ ῥώμῃ ἐγένετο· πάντων γὰρ προστᾶσα εὐψυχίᾳ καὶ τέχναις ὅσαι κατὰ πόλεμον, τὰ μὲν τῶν Ἑλλήνων ἡγουμένη, τὰ δ' αὐτὴ μονωθεῖσα, ἐξ ἀνάγκης, τῶν ἄλλων ἀποστάντων, ἐπὶ τοὺς ἐσχάτους ἀφικομένη κινδύνους, κρατήσασα μὲν τῶν ἐπιόντων, τρόπαια ἀνέστησε, τοὺς δὲ μήπω δεδρυλωμένους διεκώλυσε δουλωθῆναι, τοὺς δ' ἄλλους, ὅσοι κατοικοῦμεν ἐντὸς ὅρων Ἡρακλείων, ἀφθόνως ἅπαντας ἠλευθέρωσεν. Ὑστέρῳ δὲ χρόνῳ σεισμῶν ἐξαισίων καὶ κατακλυσμῶν γενομένων, μιᾶς ἡμέρας καὶ νυκτὸς χαλεπῆς ἐλθούσης, τό τε παρ' ὑμῶν μάχιμον πᾶν ἀθρόον ἔδυ κατὰ γῆς, ἥ τε Ἀτλαντὶς

νῆσος ὡσαύτως, κατὰ τῆς θαλάττης δῦσα, ἠφανίσθη. Διὸ καὶ νῦν ἄπορον καὶ ἀδιερεύνητον γέγονε τοὐκεῖ πέλαγος, πηλοῦ καταβραχέος ἐμποδὼν ὄντος, ὃν ἡ νῆσος ἱζομένη παρέσχετο.

Τὰ μὲν δὴ ῥηθέντα, ὦ Σώκρατες, ὑπὸ τοῦ παλαιοῦ Κριτίου κατ᾽ ἀκοὴν τὴν Σόλωνος, ὡς ξυντόμως εἰπεῖν, ἀκήκοας.

TIMÆUS.

FINIS.

ΣΥΛΛΟΓΗ' ΛΕ'ΞΕΩΝ ΠΛΑΤΩΝΙΚΩ'Ν

'ΕΚ ΤΙΜΑ'ΙΟΥ, ΚΑΙ' ΜΟΙ'ΡΙΔΟΣ, ΚΑΙ' "ΑΛΛΩΝ·

Α.

"Αγαλμα· πᾶν ἀνάθημα· καλλώπισμα πᾶν, ἐφ' ᾧ τὶς ἀγάλλεται καὶ χαίρει.

"Αγαμαι· ἀποδέχομαι, θαυμάζω ἄγαν.

"Αγροικος. σκληρὸς καὶ ἀπαίδευτος, ἢ ὁ ἐν ἀγρῷ κατοικῶν.

'Αγρονόμοι· οἱ τοῖς ἀγροῖς ἐπιφοιτῶντες ἄρχοντες.

'Αγχίσποροι· ἐγγὺς γένους.

'Αετὸς, 'Αττικοί· αἰετὸς, "Ελληνες.

Αἰκία· ὕβρεως δίκη.

'Αλίβαντας τόπους ἐν ᾅδου, ἢ καὶ αὐτοὺς τοὺς νεκροὺς νοητέον διὰ τὴν τῆς λιβάδος ἀμεθεξίαν.

'Αλιτηριῶδες· ἁμαρτωλὸν ἢ πλάνον· ἄλη γὰρ ἡ πλάνη καὶ ἡ ἁμαρτία.

'Αμεταστρεπτί· οὐχ ὑποστρέφων εἰς τοὐπίσω.

'Ανασχινδυλευθῆναι· ἀνασκολοπισθῆναι, ἀνασταυρωθῆναι.

'Ανδρηλατεῖν· ἄνδρας ἐξελαύνειν καὶ φυγαδεύειν.

'Αποδιοπομπεῖσθαι· ἀποπέμπεσθαι καὶ διωθεῖσθαι τὰ ἁμαρτήματα, συμπράκτορι χρώμενος τῷ Διΐ.

'Αποκτιννύναι, 'Αττικῶς· ἀποκτεῖναι, 'Ελληνικῶς.

'Αριστίνδην· κατ' ἀνδραγαθίαν αἱρετὸν, κατ' ἐκλογὴν καὶ αἵρεσιν τῶν ἀρίστων.

"Αρνυσθαι· ἀντὶ τοῦ καταλλάσσεσθαι· ὅθεν καὶ τὸ Μισθαρνεῖν, τὸ μισθὸν ἀντὶ τινὸς λαμβάνειν λέγεται.

"Αρτι· πρὸ ὀλίγου χρόνου πεποιημένος.

'Ατεχνῶς· ἀντὶ τοῦ ἀληθῶς καὶ χωρὶς πανουργίας, καὶ οἷον ἀπλάστως.

'Ατυχῆσαι· μὴ τυχεῖν.

Β.

Βαλάντιον, 'Αττικῶς· μαρσίππιον, 'Ελληνικῶς.

Βδάλλειν· ἀμέλγειν.

Βέβηλοι· ἀμύητοι.

Βλίττειν· ἀφαιρεῖν τὰ μέλι ἀπὸ τῶν κηρίων.

Βραβεὺς, οὐ βραβευτής.

Βραδύτερον, οὐ βράδιον.

Γ.

Γελοῖον· ἐφ' ᾧ τὶς ἂν γελάσειεν, ἤγουν, καταγέλαστον.
Γενναῖος· ὁ εὖ γεγονώς.
Γίγνεται, Ἀττικῶς· γίνεται, Ἑλληνικῶς.
Γνωματεύοντα· διακρίνοντα καὶ διαγινώσκοντα.
Γραῦς, Ἀττικῶς· γραῖα, Ἑλληνικῶς.

Δ.

Δῆμος· εἷς ἐκ τοῦ δήμου καὶ ἰδιώτης, καὶ ἡ πόλις σὺν τῇ βουλῇ.
Δήπουθεν· ἔκ τινος τόπου, ἢ ἀντὶ τοῦ δῆλον ὅτι.
Διαμπερές· δι' ὅλου διῆκον.
Διθύραμβος· ὕμνος εἰς Διόνυσον.
Δίκη· ὅτε μὲν τὸ ἔγκλημα· ὅτε δὲ ἡ κόλασις· ὅτε δὲ ὁ τρόπος καὶ ἡ ὁμοιότης.
Δωροδόκοι· καὶ οἱ διδόντες δῶρα, καὶ οἱ λαμβάνοντες.

Ε.

Εἰκάζων· οἰόμενος, ἢ ὁμοιῶν.
Εἰσαγωγαί εἰσιν αἱ εἰς τὰ δικαστήρια εἰσενέγξεις ἑκάστου τῶν δικῶν, καὶ εἰσαγωγεῖς οἱ τοῦτο ποιοῦντες.
Ἑκάστοτε· πάντοτε δὲ, οὐδεὶς τῶν Ἀττικῶν.
Ἔκγονος, ὁ υἱός· ἔγγονος δὲ, ὁ υἱοῦ ἢ θυγατρὸς υἱός.
Ἐνδοῦναι· προδοῦναι, παραδοῦναι, ἢ καὶ εἶξαι.
Ἔνεροι· οἱ νεκροὶ, ἀπὸ τοῦ ἐν τῇ ἔρᾳ, ὅ ἐστι τῇ γῇ, κεῖσθαι.
Ἐξηγηταί· τρεῖς γίνονται Πυθόχρηστοι, οἷς μέλει καθαίρειν τοὺς ἄγει τινὶ ἐνισχηθέντας.
Ἐξωμοσία· ἔνορκος παραίτησις δι' εὔλογον αἰτίαν.
Ἐρίῳ στέψαντες· στέμμα περιθέντες.
Ἕρμαιον· εὕρεμα· ἀπὸ τοῦ ἐν ἔθει λεγομένου, Κοινὸς Ἑρμῆς.
Ἔῤῥε· φθείρου, ἀπαλλάττου.
Εὐθύναι· δίκαι κατὰ τῶν ἀρξάντων κακῶς.
Εὐκταῖον, ἑνικῶς παρ' οὐδενὶ τῶν παλαιῶν, εἰ μὴ παρὰ Πλάτωνι ἐν Νόμοις.
Εὐλαβεῖσθαι· ἀντὶ τοῦ φοβεῖσθαι καὶ φυλάττεσθαι.
Εὔμορφον παρ' οὐδενὶ εὗρον, ἀλλ' εὐπρεπῆ· εὐμορφία, παρὰ Πλάτωνι ἐν Νόμοις, καὶ παρὰ Ξενοφῶντι· σπάνιον δέ.
Εὐφήμει, Ἀττικῶς· σίγα, Ἑλληνικῶς καὶ κοινόν.
Ἔχθιστος, Ἀττικοί· ἐχθρότατος, Ἕλληνες.

Z.

Ζηλῶ, καὶ παραζηλῶ, Ἀττικῶς· ζηλοτυπῶ, Ἑλληνικῶς.

H.

Ἡβᾷν· ἀκμάζειν.
Ἡδῦναι, Ἀττικῶς· ἀρτῦσαι, Ἑλληνικῶς.
Ἥκιστα· οὐ πάνυ, οὐδαμῶς.
Ἠλίθιον, Ἀττικῶς· εἰκαῖον, ἀνόητον, Ἑλληνικῶς.
Ἤμελλον, ἠβουλόμην, ἠδυνάμην, ηὐξάμην, διὰ τοῦ η, Ἀττικοί· διὰ δὲ τοῦ ε, Ἕλληνες·
Ἤπου· ἄραγε, μονονουχὶ, αὐτίκα μάλα.

Θ.

Θαμὰ, Ἀττικοί· πυκνῶς, Ἕλληνες.
Θαύματα· νευροσπάσματα.
Θῶπες· οἱ μετὰ ψεύδους καὶ θαυμασμοῦ τινὶ προσιόντες ἐπὶ κολακείᾳ.

I.

Ἴδιον· ἰδιωτικόν.
Ἶκταρ, Πλάτωνος Πολιτείᾳ· οὐδὲ ἶκταρ βάλλει, ὅπερ ἐστὶν, οὐδὲ ἐγγὺς τοῦ σκόπου γίνεται. Εἴρηται δὲ παρὰ τὸ ἐφικνεῖσθαι.
Ἰλιγγιᾷν· τὸ ἐσκοτῶσθαι καὶ δοκεῖν περιφέρεσθαι, κύκλῳ συστρέφεσθαι.
Ἴσχειν, Ἀττικῶς· ἔχειν, Ἑλληνικῶς.

K.

Κάκη· ἡ κακία, ὡς Πλάνη καὶ Ζάλη.
Κερασβόλον· ἄτηκτον, καὶ μὴ εἶκον παιδείᾳ, ἀλλ' ἀπηνὲς ὄν· εἴρηται δὲ ἀπὸ τῶν σπερμάτων, ἅτινα, κατὰ τῶν κεράτων βαλλόμενα, ἄτηκτα καὶ ἀνέψητα μένει.
Κίβδηλος· οὐχ ὑγιὴς τὸν τρόπον, δοκῶν δὲ ὑγιής. Κίβδηλον· οἱονεὶ κρύβδηλόν τι ὄν.
Κινδυνεύει· ἐγγίζει.
Κλᾴειν καὶ κᾴειν, Ἀττικά· κλαίειν δὲ καὶ καίειν, κοινά.
Κλῆρός ἐστι κτημάτων οὐσία τις, ἢ λαχμὸς, ἢ μέτρον τι γῆς, ὅθεν καὶ κληροῦχοι οἱ ταῦτα κατέχοντες.
Κνισσᾷν, τὸ θύειν, Ἀττικῶς.
Κομιδῆ· τελέως.

Κομψεία· ποικίλη λαλιὰ καὶ πανουργία· σημαίνει δὲ καὶ τὸ σπουδαῖον καὶ ἀγαθόν.

Κορυβαντιᾷν· παρεμμαίνεσθαι, καὶ ἐνθουσιαστικῶς κινεῖσθαι.

Κωμῳδεῖν· σκώπτειν.

Λ.

Λαχεῖν δίκην· γράψασθαι, δικάσασθαι, ἔγκλημα ἀποδιδόναι. Λαγχάνω δίκην τῷ δεῖνι ἤγουν κρίσιν Ἀττικοὶ λέγουσιν, οὐκ ἐπιφέρω· διὰ κλήρου γὰρ τὰς δίκας ἐποίουν.

Λήξεις δικῶν. Δίκης μὲν λῆξις εἴη ἂν, ὁ νῦν καλούμενος τύπος· τὸ δὲ ἰδιωτικῶς, ἀμφισβήτημα· ἀνεκρίνοντο δὲ τὰς λήξεις οἱ ἄρχοντες.

Λυσιτελὲς καὶ λυσιτελεῖν· οὐ λυσιτέλεια, ὠφέλεια δέ.

Μ.

Μανόν· τὸ ἀραιόν.

Μῶν, Ἀττικῶς· μὴ ἄρα, Ἑλληνικῶς.

Ν.

Νεουργόν· νεωστὶ εἰργασμένον.

Νηίθ, ἡ Ἀθηνᾶ παρ' Αἰγυπτίοις.

Νῦν δή· πρὸ ὀλίγου χρόνου ἡμῖν.

Νυνί· ἐν τῷ ἐνεστῶτι χρόνῳ.

Νῶϊν· ἡμῖν.

Ξ.

Ξύμμαχος· σύμμαχος. (Κ. τ. λ. Ἀττικῶς.)

Ο.

Οἶμαι, οἴομαι, Ἀττικῶς· νομίζω, Ἑλληνικῶς.

Οἰστρᾷ· συντόνως καὶ μανικῶς κινεῖται.

Ὀκνεῖ· εὐλαβῶς ἔχει.

Ὀλλύασιν, ὀμνύασιν, Ἀττικῶς· ὀλλύουσιν, ὀμνύουσιν, Ἕλληνες.

Ὀλυμπία, τόπος τις κατὰ τὴν Πελοπόννησον, ἐν Πίσῃ, πόλει τῆς Ἤλιδος χώρας.

Ὀμνῦναι, Ἀττικῶς· ὀμνύειν, Ἑλληνικῶς.

Ὁμόγνιοι θεοί· ὅσοι συγγενεῖς κοινῶς ὀργιάζουσιν.

Ὀμόρξασθαι, ἐξομόρξασθαι, Ἀττικῶς· ἐκμάξασθαι, Ἑλληνικῶς. Ἐξομοργνύμενος, ἐκματτόμενος καὶ ἀποτυπούμενος.

Ὁμοῦ, ἅμα, ἐν τῷ αὐτῷ δηλοῖ· τὸ δὲ ὁμόσε, εἰς τὸ αὐτό· τὸ δὲ ὁμόθεν, ἐκ τοῦ αὐτοῦ.

Ὀργιάζων· θύων, ἐπιτελῶν.
Οὐκ ἐτός· οὐκ ἐτωσίως, οὐ ματαίως, οὐκ ἀλόγως.
Ὄφλειν· ἡττᾶσθαι ἐπὶ δικαστηρίῳ. Ὤφειλε δίκην λέγουσιν, ἀντὶ ἡττήθη δίκην· καὶ ἡττηθεὶς, τὸ ἐκ τῆς καταδίκης ἐπιτίμιον ὀφείλων.

Π.

Παιών· ᾠδὴ ἐπ' εὐτυχίᾳ, ἀλαλαγμὸς ἐπινίκιος.
Παράστασις· στάσις παρά τινα ἄτιμος· γίνεται δὲ ἐπὶ τῶν χρεωφειλετῶν.
Πεττία· ἡ διὰ ψήφων παιδιά· ἔστι δ' ὅτε καὶ γεωμετρίαν λέγει.
Πῆ, ποῖ, Ἀττικῶς· ποῦ, κοινόν.
Πλέθρον· ἕκτον μέρος σταδίου.
Πλημμέλεια· πολλὴ ἀμέλεια. Πλημμελεῖν· ἁμαρτάνειν.

Ρ.

Ῥᾷον· συγκριτικὸν πρὸς ἕτερον. Ῥᾴδιον· ἀπόλυτον καθ' αὑτό. Ῥᾷστον· ὑπερθετικόν.
Ῥαψῳδοί· ὑποκριταὶ ἐπῶν.

Σ.

Σηκός· ἔπαυλις τριγχῷ περιεχομένη.
Στρατεία· ἡ ἐνέργεια, καὶ ὥσπερ πάλη. Στρατιά· τὸ τῶν στρατιωτῶν ὑπὸ ἕνα ἔπαρχον τάγμα.
Στρατόπεδον· λέγεται καὶ τὸ πλῆθος τῶν στρατιωτῶν· λέγεται δὲ καὶ τόπος ἐν ᾧ ἀθροίζεσθαι αὐτοὺς ἐπιτήδειον.
Στρωματόδεσμος, Ἀττικῶς· στρωματεὺς, Ἑλληνικῶς.
Συγγενήσεσιν, ἀντὶ συνουσίαις, ὡς Πλάτων ἐν Νόμοις· παρ' ἄλλῳ οὐχ εὗρον.
Συκοφάντης λέγεται ὁ ψευδῶς τί τινος κατηγορῶν κεκλῆσθαι οὕτω, παρ' Ἀθηναίοις πρῶτον εὑρεθέντος τοῦ φυτοῦ τῆς συκῆς, καὶ διὰ τοῦτο κωλυόντων ἐξάγειν τὰ σῦκα· τῶν δὲ φαινόντων τοὺς ἐξάγοντας Συκοφαντῶν κληθέντων, συνέβη καὶ τοὺς ὁπωσοῦν κατηγοροῦντάς τινων φιλαπεχθημόνως οὕτω προσαγορευθῆναι.
Συχνά· πυκνὰ, συνεχῆ, πολλά.
Σφαδάζειν· δυσανασχετεῖν μετά τινος ὥσπερ σπασμοῦ, δυσθανατεῖν.
Σφενδόνη· ἡ τοῦ δακτυλίου περιφέρεια· τὸ σφραγιδοφυλάκιον.

Τ.

Ταυτὸν, Ἀττικῶς· τὸ αὐτὸ, Ἕλληνες.
Τάχιον οὐ λέγεται παρ' Ἀττικοῖς, ἀλλὰ θᾶττον.
Τέγγων· μαλάττων, βρέχων. Τέγγεσθαι· εἴκειν, ἐνδιδόναι, ὡς νῦν βρέχεσθαι.
Τειχίον, τὸ τῆς οἰκίας· τεῖχος, τὸ τῆς πόλεως.
Τέλος· τάξις, βλάβη, ἀνάλωμα.
Τί μήν; κατάφασιν δηλοῖ, ἀντὶ οὖ, πῶς γὰρ οὔ; ἢ, διὰ τί γὰρ οὔ;

Υ.

Ὑγίεια, Ἀττικῶς· ὑγεία, Ἑλληνικῶς.
Ὕθλος· φλυαρία, λῆρος.
Ὑπάγειν· εἰς δίκην ἐνάγειν.

Φ.

Φάναι· ἐν αὐτῷ ὑπολαμβάνειν. Τὸ δὲ Λέγειν· ἑτέρῳ δηλοῦν.
Φαῦλον, σημαίνει τὸ κακὸν καὶ τὸ εὐτελές· φλαῦρον δὲ, μόνον τὸ κακόν.
Φιλεῖ· ὅπερ φιλεῖ γίνεσθαι, Ἀττικῶς.
Φλυαρία παρὰ Πλάτωνι πανταχῆ πᾶν τὸ περιττὸν, εἴτ' ἐν λόγοις, εἴτ' ἐν πράγμασι.
Φοιτᾷ, παραγίνεται. Φοιτητήν· τὸν μαθητὴν, ἢ τὸν παραγινόμενον, Ἀττικῶς.

Χ.

Χάριν σοὶ ἔχω, ἀντὶ οἶδά σοι, Πλάτων.
Χρεὼν, χρῆναι, χρείη, χρήσθων, πάντα Ἀττικῶς.
Χρήματα καὶ τὰ πράγματα καὶ τὰ ἀργύρια λέγουσιν Ἕλληνες· μόνως δὲ τὰ χρήματα, πράγματα, Ἀττικῶς.

Ψ.

Ψηλαφᾷν, ἢ ψαθάλλειν.

Ω.

Ὧδε, κοινὸν Ἰώνων καὶ Ἀττικῶν· οὕτως, Ἕλληνες.
Ὥρα ἔτους, Ἀττικῶς· καιρὸς ἔτους, Ἑλληνικῶς.
Ὡσαύτως, ἀντὶ τοῦ παραπλησίως, κατὰ Πλάτωνα.
Ὡς ἔοικεν, Ἀττικῶς· ὡς φαίνεται, ὡς δοκεῖ, Ἕλληνες.
Ὡς οἷόν τε· ὡς δυνατόν.

ΤΕΛΟΣ.

PLATONIS ECLOGARUM

ENARRATIO GRAMMATICA.

PARS PRIMA. DE DEO.

Deus. Pag. 1. Ὡς κινηθέν τε καὶ ζῶν.... Structurâ Græcorum verborum servatâ, quam ob causam latinâ linguâ in his commentationibus utimur, sensus est : « Ut moventem se et vivam animadvertit sempiternorum deorum natam imaginem is qui genuerat pater, delectatus est, lætusque, multò etiam similiorem exemplari perficere insuper destinavit. » Ubi recepimus ἐπενενόησεν e Basileensi, 1534, et Parisiensi Perionii, 1540; quæ vox aptissimè cum sensu convenit. Alteram lectionem, ἐπενόησεν, prætulit *Bekker*, edit. Berol. 1817.

ποιεῖ, μένοντος αἰῶνος ἐν ἑνὶ, κ.... « Facit, manente æternitate in uno, per numerorum articulos progredientem æternitatis imaginem. » Τοῦτον ὃν δὴ χ.... figurâ usitatâ : « Urbem quam statuo; vestra est. » Virg. *Æn.* I, 577. « Hunc adolescentem quem vides, malo astro natus est. » Petron. *Satyric.*, cap. 134. Cf. Gronovium ad Senec. *Herc. Oet.*, v. 410; Manutium ad Cicer. *Epist. fam.*, IV, 1, etc.

Καὶ τό τ' ἦν, τό τ' ἔσται... Jungit hæc verba Proclus, *in Tim.*, p. 249, cum præcedenti clausula, et subjicit ἃ δὴ φέροντες. Deinde habet χρόνου γεγονότα εἴδη. Nollem idem a *Bekkero* factum. Præferendum enim, quum ob mss., tum ob sententiam, γεγονότος. « Formæ temporis, *quod natum est, cui fuit origo.* » Multa alia in Proclo differunt, quæ si omnia non describemus, non ideo doctorum veniâ carebimus.

P. 2. ὰς ἡ θατέρου περίοδος, atque infra, κατὰ δὴ τὴν θατέρου φοράν. Cui adversatur, διὰ τῆς ταυτοῦ φύσεως ἰοῦσαν, et mox, ταυτοῦ καὶ ὁμοίου περιφορᾶς. Est quidem ἡ ταυτοῦ καὶ ὁμοίου φύσις, ἡ περιφορά, motus divinus, integer, unus semper atque idem, stellarum nempe fixarum orbis, æther, Deus ipse; alter verò motus, ἡ θατέρου, varius, obliquus, discors,

errantium viæ; pars naturæ, quæ sibi non constat, modò in occidentem, modò in orientem vergens. Plura Tim. Locr. *de Anim. mund.*, II, 2.

P. 2. Ἑωσφόρον δὲ καὶ τὸν ἱερὸν Ἑρμοῦ.... Intellige ἀςέρα, ut vertit Cicero : « Lucifer deinde, et sancta Mercurii stella. » εἰς τὸν τάχει μὲν ισ.... Omnes editi, εἰς τοὺς, qui nodus ut aliquâ tamen verecundiâ frangeretur, unam tantùm alteramve litteram, juvantibus Cicerone, Proclo, Alcinoo, mutavimus. Ordo est : Ἑωσφ. καὶ Ἑρμ. ἰόντας εἰς τὸν κύκλον τάχει μὲν ἰσόδρομον Ἡλίῳ, εἰληχότας δέ.... V. Macrob. *in Somn. Scip.*, I, 19. Nihil hîc *J. A. Fabricius*, ad Chalcidium suum post Hippol. Opp., nec. p. 246, nec 317. Silet quoque *J. Meursius.*

καὶ κατὰ ταῦτα ὑπ' ἀλλήλων. Inter καταλαμβάνονται et κατὰ ταῦτα otiosa esse videtur vocula καί. *Stephanus.* Proclus, p. 257, haud agnoscit; *Bekker* expungit.

